ΨΑΛΜΟΙ (Versiunea după Septuaginta, după Αγία Γραφή apărută cu binecuvântarea Bisericii Ortodoxe Greceşti)	***PSALMII*** (Traducere după Septuaginta, după Sfânta Scriptură apărută cu binecuvântarea Bisericii Ortodoxe Greceşti)	**ΨΑΛΜΟΙ** (Versiune după Septuagintă, după Psaltirea apărută cu binecuvântarea Bisericii Ortodoxe Greceşti)	**PSALMII** (Traducerea şi aranjarea stihurilor sa făcut după Psaltirea apărută cu binecuvântarea Bisericii Ortodoxe Greceşti)
ΨΑΛΜΟΣ Α΄. Ψαλμὸς τῷ Δαυΐδ· ἀνεπίγραφος παρ’ Ἑβραίοις.	*PSALMUL 1* *Psalmul lui David; nescris deasupra la evrei.*	ΚΑΘΙΣΜΑ ΠΡΩΤΟΝ ΨΑΛΜΟΣ Α΄. Ψαλμὸς τῷ Δαυΐδ· ἀνεπίγραφος παρ’ Ἑβραίοις.	Catisma întâi *PSALMUL 1* *Psalm al lui David; nescris deasupra la evrei.*
Ψλ1:1 Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν,	*1. Fericit bărbatul (omul), care n-a umblat în sfatul necinstitorilor şi în calea păcătoşilor n-a stătut şi pe scaunul pierzătorilor (leproşilor) n-a şezut,*	**Ψλ1:1** Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν.	1. Fericit bărbatul (omul) care n-a umblat în sfatul necinstitorilor, şi în calea păcătoşilor n-a stătut şi pe scaunul pierzătorilor n-a şezut.
Ψλ1:2 ἀλλ’ ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.	*2. ci în legea Domnului e voia lui şi în legea Lui va cugeta ziua şi noaptea.*	**Ψλ1:2** Ἀλλ’ ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.	2. Ci în legea Domnului e voia lui şi în legea Lui va cugeta ziua şi noaptea.
Ψλ1:3 καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται· καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.	*3. Şi va fi ca pomul cel răsădit lângă izvoarele apelor, care rodul său va da în vremea sa, şi frunza lui nu va cădea; şi toate, câte ar face, vor spori.*	**Ψλ1:3** Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται· καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.	3. Şi va fi ca pomul cel răsădit lângă izvoarele apelor, care rodul său va da în vremea sa şi frunza lui nu va cădea, şi toate câte ar face vor spori.
Ψλ1:4 οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ’ ἢ ὡς[1] ὁ χνοῦς, ὃν ἐκριπτεῖ ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.	*4. Nu aşa necinstitori, nu aşa, ci ca praful ce-l spulberă vântul de pe faţa pământului.*	**Ψλ1:4** Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ’ ἢ **ὡσεὶ** ὁ χνοῦς, ὃν ἐκριπτεῖ ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.	4. Nu aşa necinstitorii, nu aşa; ci ca praful ce-l spulberă vântul de pe faţa pământului.
Ψλ1:5 διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων·	*5. Pentru aceasta nu se vor scula (nu vor învia) necinstitori la (întru) judecată, nici păcătoşii în sfatul drepţilor;*	**Ψλ1:5** Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.	5. Pentru aceasta nu se vor scula necinstitorii la judecată, nici păcătoşii în sfatul drepţilor.
Ψλ1:6 ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.	*6. că ştie (cunoaşte) Domnul calea drepţilor, şi calea necinstitorilor va pieri.*	**Ψλ1:6** Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.	6. Că ştie Domnul calea drepţilor iar calea necinstitorilor va pieri.

[1] În versiunea unde un cuvânt este scris altfel, sau nu se află şi în cealaltă versiune, l-am îngroşat.

ΨΑΛΜΟΣ Β΄. Ψαλμὸς τῷ Δαυΐδ· ἀνεπίγραφος παρ’ Ἑβραίοις.	*PSALMUL 2* *Psalm a lui David; nescris deasupra la evrei.*	ΨΑΛΜΟΣ Β΄. Ψαλμὸς τῷ Δαυΐδ· ἀνεπίγραφος παρ’ Ἑβραίοις.	*PSALMUL 2* *Psalm a lui David; nescris deasupra la evrei.*
Ψλ2:1 Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;	*1. Pentru ce s-au întărâtat neamurile și popoarele au cugetat cele deșarte?*	**Ψλ2:1** **Ἱνατί** ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;	1. Pentru ce s-au întărâtat neamurile, şi popoarele au cugetat cele deşarte?
Ψλ2:2 παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες[2] συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.	*2. Statut-au de față împărații pământului, și boierii (începătorii) s-au adunat împreună asupra Domnului și asupra unsului Său.*	**Ψλ2:2** Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.	2. Stătut-au de faţă împăraţii pământului, şi boierii s-au adunat împreună asupra Domnului şi asupra Unsului Său.
Ψλ2:3 Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀπορρίψωμεν ἀφ’ ἡμῶν τὸν ζυγὸν αὐτῶν.	*3. Să rupem legăturile lor, și să lepădăm de la noi jugul lor.*	**Ψλ2:3** Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀπορρίψωμεν ἀφ’ ἡμῶν τὸν ζυγὸν αὐτῶν.	3. Să rupem legăturile lor, şi să lepădăm de la noi jugul lor.
Ψλ2:4 ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.	*4. Cel ce locuiește în ceruri va râde de dânșii, și Domnul îi va batjocori pe ei.*	**Ψλ2:4** Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.	4. Cel ce locuieşte în ceruri va râde de dânşii, şi Domnul îi va batjocori pe ei.
Ψλ2:5 τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.	*5. Atuncea va grăi către ei întru urgia Lui și întru mânia Sa îi va tulbura pe ei.*	**Ψλ2:5** Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.	5. Atuncea va grăi către dânşii întru urgia Sa, şi întru mânia Sa îi va tulbura pe ei.
Ψλ2:6 Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ’ αὐτοῦ ἐπὶ Σιων ὄρος τὸ ἅγιον αὐτοῦ	*6. Iar Eu sunt pus împărat de Dânsul, peste Sion muntele cel sfânt al Lui*	**Ψλ2:6** Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ’ αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου.	6. Iar Eu sunt pus împărat de Dânsul, peste Sion muntele cel sfânt al Lui, vestind porunca Domnului.
Ψλ2:7 διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπεν πρός με Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε·	*7. vestind porunca Domnului. Domnul a zis către Mine: Fiul Meu ești Tu, Eu astăzi Te-am născut;*	**Ψλ2:7** Κύριος **εἶπε** πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.	7. Domnul a zis către Mine: Fiul Meu eşti Tu, Eu astăzi Te-am născut.
Ψλ2:8 αἴτησαι παρ’ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς·	*8. cere de la Mine, și voi da Ție neamurile moștenirea Ta și biruința (stăpânirea) Ta marginile pământului;*	**Ψλ2:8** Αἴτησαι παρ’ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.	8. Cere de la Mine, şi voi da Ţie neamurile moştenirea Ta, şi biruinţa Ta marginile pământului.
Ψλ2:9 ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς.	*9. paște-vei (păstori-vei) pe ei cu (în) toiag de fier, ca vasele olarului zdrobi-vei pe dânșii.*	**Ψλ2:9** Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς **σκεύη** κεραμέως συντρίψεις αὐτούς.	9. Paşte-vei (Păstori-vei) pe ei cu toiag de fier, ca vasele olarului zdrobi-vei pe dânşii.

[2] Ἄρχοντες, acest cuvânt, îl îtâlnim des în Psaltire, se traduce *începătorii* şi îi însemnază uneori pe Apostoli, Episcopi, Preoţi, alteori pe săpânitori, domni, boieri, ieghemoni…

Ψλ2:10 καὶ νῦν, βασιλεῖς, σύνετε· παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.	*10. Și acum, împărați, înțelegeți, învățați-vă, toți care judecați pământul.*	**Ψλ2:10** Καὶ νῦν, βασιλεῖς, σύνετε· παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.	10. Şi acum, împăraţi înţelegeţi; învăţaţi-vă toţi care judecaţi pământul.
Ψλ2:11 δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.	*11. Slujiți Domnului cu (în) frică și vă bucurați lui cu cutremur.*	**Ψλ2:11** Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.	11. Slujiţi Domnului cu frică şi vă bucuraţi Lui cu cutremur.
Ψλ2:12 δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.	*12. Luați învățătură, ca nu cândva să se mânie Domnul și să pieriți din calea cea dreaptă. Când se va aprinde degrab mânia Lui, fericiți toți cei ce nădăjduiesc (se încred) spre Dânsul.*	**Ψλ2:12** Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. **Ψλ2:13** Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.	12. Luaţi învăţătură, ca nu cândva să se mânie Domnul şi să pieriţi din calea cea dreaptă. 13. Când se va aprinde degrab mânia Lui, fericiţi toţi cei ce nădăjduiesc spre Dânsul.
ΨΑΛΜΟΣ Γʹ. Ψαλμὸς τῷ Δαυΐδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.	*PSALMUL 3* *Psalm a lui David, când fugea de la fața lui Abesalom fiul său.*	ΨΑΛΜΟΣ Γʹ. Ψαλμὸς τῷ Δαυΐδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.	*PSALMUL 3* *Psalm a lui David, când fugea de la fața lui Abesalom fiul său.*
Ψλ3:1 Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ·	*1. Doamne, ce s-au înmulțit cei ce mă necăjesc? Mulți se scoală asupra mea;*	**Ψλ3:1** Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.	1. Doamne, ce s-au înmulţit cei ce mă necăjesc? Mulţi se scoală asupra mea.
Ψλ3:2 πολλοὶ λέγουσιν τῇ ψυχῇ μου· Οὐκ ἔστιν σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.	*2. Mulți zic sufletului meu: Nu este mântuirea lui întru Dumnezeul lui.*	**Ψλ3:2** Πολλοὶ λέγουσιν τῇ ψυχῇ μου· Οὐκ ἔστιν σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.	2. Mulţi zic sufletului meu: ”Nu este mântuirea lui, întru Dumnezeul lui!”
Ψλ3:3 σὺ δέ, Κύριε, ἀντιλήμπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.	*3. Iar Tu, Doamne, sprijinitorul meu ești, slava mea și Cel ce înalți capul meu.*	**Ψλ3:3** Σὺ δέ, Κύριε, ἀντιλήμπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.	3. Iar Tu, Doamne, sprijinitorul meu eşti, slava mea şi Cel ce înalţi capul meu.
Ψλ3:4 φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέν μου ἐξ ὄρους ἁγίου αὐτοῦ.	*4. Cu glasul meu către Domnul am strigat, și m-a auzit din muntele cel sfânt al Lui.*	**Ψλ3:4** Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ **ἐπήκουσέ** μου ἐξ ὄρους ἁγίου αὐτοῦ.	4. Cu glasul meu către Domnul am strigat, şi m-a auzit din muntele sfânt al Lui.
Ψλ3:5 ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήμψεταί μου.	*5. Eu m-am culcat și am adormit; sculatu-m-am, că Domnul mă va sprijini.*	**Ψλ3:5** Ἐγὼ δέ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήμψεταί μου.	5. Iar eu m-am culcat şi am adormit; sculatu-m-am, că Domnul mă va sprijini.
Ψλ3:6 οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι.	*6. Nu mă voi teme de mii de popoare care împrejur mă împresoară.*	**Ψλ3:6** Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.	6. Nu mă voi teme de mii de popoare, care împrejur mă împresoară.

Ψλ3:7 ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.	*7. Scoală, Doamne, mânuiește-mă, Dumnezeul meu, că Tu ai bătut pe toți cei ce mă vrăjmășesc în deșert, dinții păcătoșilor ai zdrobit.*	Ψλ3:7 Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.	7. Scoală, Doamne, mântuieşte-mă, Dumnezeul meu, că Tu ai bătut pe toţi cei ce mă vrăjmăşesc în deşert; dinţii păcătoşilor ai zdrobit.
Ψλ3:8 τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.	*8. A Domnului este mântuirea, și peste poporul Tău binecuvântarea Ta.*	Ψλ3:8 Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. Δόξα...	8. A Domnului este mântuirea, şi peste poporul Tău binecuvântarea Ta. Slavă…
ΨΑΛΜΟΣ Δ΄. Εἰς τὸ τέλος, ἐν ψαλμοῖς· ᾠδὴ τῷ Δαυΐδ.	*PSALMUL 4* *Întru sfârșit, în psalmi; oda lui David.*	ΨΑΛΜΟΣ Δ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 4* *Întru sfârşit, în laude; psalm a lui David.*
Ψλ4:1 Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέν μου ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς μοι· οἰκτίρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.	*1. Când Te-am chemat auzitu-m-ai Dumnezeul dreptății mele; întru necaz m-ai desfătat. Îndură-Te spre mine și ascultă rugăciunea mea.*	Ψλ4:1 Ἐν τῷ ἐπικαλεῖσθαί με **εἰσήκουσάς** μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς **με**.	1. Când Te-am chemat, m-ai auzit, Dumnezeul dreptăţii mele; întru necaz m-ai desfătat.
		Ψλ4:2 Οἰκτίρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.	2. Milostiveşte-Te (Îndură-Te) spre mine şi ascultă rugăciunea mea.
Ψλ4:2 υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;	*2. Fiii oamenilor, până când grei la inimă? Pentru ce iubiți deșertăciunea și căutați minciuna?*	Ψλ4:3 Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; **ἱνατί** ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;	3. Fii oamenilor, până când grei la inimă? Pentru ce iubiţi deşertăciunea şi căutaţi minciuna?
Ψλ4:3 καὶ γνῶτε ὅτι ἐθαυμάστωσεν Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.	*3. Și cunoașteți că minunat a făcut Domnul pe cel cuvios al Său; Domnul mă va auzi când voi striga către Dânsul.*	Ψλ4:4 Καὶ γνῶτε ὅτι ἐθαυμάστωσεν Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.	4. Şi cunoaşteţi că minunat a făcut Domnul pe cel cuvios al său; Domnul mă va auzi când voi striga către Dânsul.
Ψλ4:4 ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· λέγετε ἐν ταῖς καρδίαις ὑμῶν **καὶ** ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.	*4. Mâniați-vă și nu păcătuiți; ziceți în inimile voastre și pe așternuturile voastre vă umiliți.*	Ψλ4:5 Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.	5. Mâniaţi-vă şi nu păcătuiţi; de cele ce ziceţi în inimile voastre, întru aşternuturile voastre vă umiliţi.
Ψλ4:5 θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον.	*5. Jertfiți jertfa dreptății și nădăjduiți spre Domnul.*	Ψλ4:6 Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον.	6. Jertfiţi jertfa dreptăţii, şi nădăjduiţi spre Domnul.
Ψλ4:6 πολλοὶ λέγουσιν Τίς δείξει ἡμῖν τὰ ἀγαθά; ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.	*6. Mulți zic: cine va arăta nouă cele bune? Însemnatu-s-a peste noi lumina feței Tale, Doamne.*	Ψλ4:7 Πολλοὶ **λέγουσι·** Τίς δείξει ἡμῖν τὰ ἀγαθά; ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.	7. Mulţi zic: „Cine va arăta nouă cele bune?" Însemnatu-s-a peste noi lumina feţei Tale, Doamne.

Ψλ4:7 ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· ἀπὸ καιροῦ σίτου **καὶ** οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.	*7. Dat-ai veselie în inima mea; de rodul grâului şi vinului şi al untului de lemn al lor ce s-au înmulţit.*	**Ψλ4:8** Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· ἀπὸ καιροῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.	8. Dat-ai veselie în inima mea; din rodul grâului, vinului şi al untului de lemn al lor ce s-au înmulţit.
Ψλ4:8 ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκισάς με.	*8. În pace împreuna mă voi culca şi voi dormi, că Tu, Doamne, îndeosebi întru nădejde m-ai aşezat.*	**Ψλ4:9** Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκισάς με.	9. În pace împreună mă voi culca şi voi dormi, că Tu, Doamne, îndeosebi, întru nădejde m-ai aşezat.
ΨΑΛΜΟΣ Ε΄. Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 5* *Întru sfârşit, pentru cea moştenitoare; psalmul lui David.*	ΨΑΛΜΟΣ Ε΄. Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 5* *Întru sfârşit, pentru cea moştenitoare; psalmul lui David.*
Ψλ5:1 Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου· **Ψλ5:2** πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε· **Ψλ5:3** τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψομαι. **Ψλ5:4** ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ, οὐδὲ παροικήσει σοι πονηρευόμενος· **Ψλ5:5** οὐ διαμενοῦσιν παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου, ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. **Ψλ5:6** ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.	*1. Graiurile mele ascultă-le, Doamne, înţelege strigarea mea.* *2. Ia aminte glasul rugăciunii (cererii) mele, Împăratul meu şi Dumnezeul meu. Căci către Tine mă voi ruga, Doamne;* *3. dimineaţa vei auzi glasul meu, dimineaţa voi sta înaintea Ta şi mă vei vedea.* *4. Că Dumnezeu, Cel ce nu voieşte fărădelegea, Tu eşti, nu va locui lângă Tine cel ce vicleneşte;* *5. nici vor petrece călcătorii de lege în preajma ochilor Tăi, urât-ai pe toţi cei ce lucrează fărădelegea.* *6. Pierde-vei pe toţi cei ce grăiesc minciuna; bărbatul sângiurilor şi vicleanul urăşte Domnul.*	**Ψλ5:1** Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου. **Ψλ5:2** Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. **Ψλ5:3** Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε· τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. **Ψλ5:4** Τὸ πρωῒ παραστήσομαί σοι καὶ **ἐπόψει με**. ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. **Ψλ5:5** **Οὐ** παροικήσει σοι πονηρευόμενος· **οὐδὲ** διαμενοῦσιν παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. **Ψλ5:6** Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. **Ψλ5:7** Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.	1. Graiurile mele ascultă-le, Doamne, înţelege strigarea mea. 2. Ia aminte glasul rugăciunii mele, Împăratul meu şi Dumnezeul meu. 3. Căci către Tine mă voi ruga, Doamne; dimineaţa vei auzi glasul meu. 4. Dimineaţa voi sta înaintea Ta şi mă vei vedea; că Dumnezeu, Cel ce nu voieşte fărădelegea, eşti Tu. 5. Nu va locui lângă Tine cel ce vicleneşte; nici vor petrece călcătorii de lege în preajma ochilor Tăi. 6. Urât-ai pe toţi cei ce lucrează fărădelegea; pierde-vei pe toţi cei ce grăiesc minciuna. 7. Pe bărbatul sângiurilor şi vicleanul urăşte Domnul.
Ψλ5:7 ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου	*7. Iar eu întru mulţimea milei Tale voi intra în*	**Ψλ5:8** Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου	8. Iar eu întru mulţimea milei Tale voi intra în

εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.	*casa Ta, închina-mă-voi spre sfânt locaşul Tău (sfântă Biserica Ta) întru frica Ta.*	εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.	casa Ta, închina-mă-voi spre Sfântă Biserica Ta, întru frica Ta.
Ψλ5:8 Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν μου τὴν ὁδόν σου.	*8. Doamne, povăţuieşte-mă (călăuzeşte-mă) întru dreptatea Ta pentru vrăjmaşii mei, îndreptează înaintea mea calea Ta.*	**Ψλ5:9** Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν **σου** τὴν ὁδόν **μου**.	9. Doamne, povăţuieşte-mă întru dreptatea Ta; pentru vrăjmaşii mei, îndreptează înaintea Ta calea mea.
Ψλ5:9 ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία· τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.	*9. Că nu este în gura lor adevăr, inima lor este deşartă; mormânt deschis grumazul lor, cu limbile lor vicleneau.*	**Ψλ5:10** Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. **Ψλ5:11** Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτούς, ὁ Θεός.	10. Că nu este în gura lor adevăr, inima lor este deşartă. 11. Mormânt deschis grumazul lor, cu limbile lor vicleneau; judecă-i pe ei, Dumnezeule.
Ψλ5:10 κρῖνον αὐτούς, ὁ Θεός· ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.	*10. Judecă-i pe ei, Dumnezeule; să cadă din sfaturile lor, după mulţimea necinstirilor lor, leapădă-i pe ei, că Te-au amărât, Doamne.*	**Ψλ5:12** Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.	12. Să cadă din sfaturile lor; după mulţimea nelegiuirilor lor, leapădă-i pe ei, că Te-au amărât, Doamne.
Ψλ5:11 καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου.	*11. Şi să se veselească toţi cei ce nădăjduiesc întru Tine; în veac se vor bucura, şi Te Vei sălăşlui întru dânşii, şi se vor lăuda întru Tine toţi cei ce iubesc numele Tău.*	**Ψλ5:13** Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. **Ψλ5:14** Καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου. ὅτι σὺ εὐλογήσεις δίκαιον.	13. Şi să se veselească toţi cei ce nădăjduiesc întru Tine; în veac se vor bucura, şi Te Vei sălăşlui întru dânşii. 14. Şi se vor lăuda întru Tine toţi cei ce iubesc numele Tău, că Tu Vei binecuvânta pe cel drept.
Ψλ5:12 ὅτι σὺ εὐλογήσεις δίκαιον· Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.	*12. Că Tu Vei binecuvânta pe cel drept, Doamne, căci cu arma buneivoiri ne-ai încununat pe noi.*	**Ψλ5:15** Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.	15. Doamne, cu arma buneivoiri ne-ai încununat pe noi.
ΨΑΛΜΟΣ ΣΤ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 6* *Întru sfârşit, în laude, pentru al optulea veac; psalmul lui David.*	ΨΑΛΜΟΣ ΣΤ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 6* *Întru sfârşit, în laude, pentru al optulea veac; psalmul lui David.*
Ψλ6:1 Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με	*1. Doamne, nu cu mânia Ta să mă mustri pe*	**Ψλ6:1** Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,	1. Doamne, nu cu mânia Ta să mă mustri pe

μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.	*mine, nici cu urgia Ta să mă pedepseşti.*	μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.	mine, nici cu urgia Ta să mă pedepseşti.
Ψλ6:2 ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου,	*2. Miluieşte-mă, Doamne, că neputincios sunt; vindecă-mă, Doamne, că s-au tulburat oasele mele,*	**Ψλ6:2** Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε;	2. Miluieşte-mă, Doamne, că neputincios sunt; vindecă-mă, Doamne, că s-au tulburat oasele mele, şi sufletul meu s-a tulburat foarte; şi Tu, Doamne, până când?
Ψλ6:3 καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε;	*3. şi sufletul meu s-a tulburat foarte; Tu, Doamne, până când?*		
Ψλ6:4 ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.	*4. Întoarce-Te, Doamne, izbăveşte sufletul meu, mânuieşte-mă pentru mila Ta.*	**Ψλ6:3** Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.	3. Întoarce-Te, Doamne; izbăveşte sufletul meu, mântuieşte-mă, pentru mila Ta.
Ψλ6:5 ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;	*5. Că nu este întru moarte cel ce Te pomeneşte pe Tine; iar în iad cine se va mărturisi Ţie?*	**Ψλ6:4** Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;	4. Că nu este întru moarte cel ce Te pomeneşte pe Tine; iar în iad cine se va mărturisi Ţie?
Ψλ6:6 ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσίν μου τὴν στρωμνήν μου βρέξω.	*6. Ostenit-am întru suspinul meu, spăla-voi în fiecare noapte patul meu, cu lacrimile mele aşternutul meu voi uda.*	**Ψλ6:5** Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσίν μου τὴν στρωμνήν μου βρέξω.	5. Ostenit-am întru suspinul meu, spăla-voi în fiecare noapte patul meu, cu lacrimile mele aşternutul meu voi uda.
Ψλ6:7 ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσιν τοῖς ἐχθροῖς μου.	*7. Tulburatu-s-a de mânie ochiul meu, învechitu-m-am întru toţi vrăjmaşii mei.*	**Ψλ6:6** Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσιν τοῖς ἐχθροῖς μου.	6. Tulburatu-s-a de mânie ochiul meu, învechitu-m-am întru toţi vrăjmaşii mei.
Ψλ6:8 ἀπόστητε ἀπ᾽ ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσεν Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου·	*8. Depărtaţi-vă de la mine toţi cei ce lucraţi fărădelege, că a auzit Domnul glasul plângerii mele;*	**Ψλ6:7** Ἀπόστητε ἀπ᾽ ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσεν Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.	7. Depărtaţi-vă de la mine toţi cei ce lucraţi fărădelege, că a auzit Domnul glasul plângerii mele.
Ψλ6:9 εἰσήκουσεν Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.	*9. auzit-a Domnul cererea mea, Domnul rugăciunea mea a primit.*	**Ψλ6:8** **Ἤκουσε** Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.	8. Auzit-a Domnul cererea mea, Domnul rugăciunea mea a primit.
Ψλ6:10 αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.	*10. Să se ruşineze şi să se tulbure foarte toţi vrăjmaşii mei, să se întoarcă şi să se ruşineze foarte degrab.*	**Ψλ6:9** Αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους. Δόξα...	9. Să se ruşineze şi să se tulbure foarte toţi vrăjmaşii mei, să se întoarcă şi să se ruşineze foarte degrab. Slavă…

ΨΑΛΜΟΣ Ζ΄. Ψαλμὸς τῷ Δαυΐδ, ὃν ᾖσεν τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσι υἱοῦ Ιεμενι.	*PSALMUL 7* *Psalmul lui David, pe care l-a cântat Domnului, pentru cuvintele lui Husi, fiul lui Iemeni.*	ΨΑΛΜΟΣ Ζ΄. Ψαλμὸς τῷ Δαυΐδ, ὃν ᾖσεν τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσι υἱοῦ Ιεμενι.	*PSALMUL 7* *Psalmul lui David, pe care l-a cântat Domnului, pentru cuvintele lui Husi, fiul lui Iemeni.*
Ψλ7:1 Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με,	*1. Doamne, Dumnezeul meu, spre Tine am nădăjduit; mântuieşte-mă de toţi cei ce mă prigonesc şi mă izbăveşte,*	**Ψλ7:1** Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με,	1. Doamne, Dumnezeul meu, spre Tine am nădăjduit; mântuieşte-mă de toţi cei ce mă prigonesc şi mă izbăveşte,
Ψλ7:2 μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος.	*2. ca nu cândva să răpească ca un leu sufletul meu, nefiind cel ce izbăveşte, nici cel ce mântuieşte.*	**Ψλ7:2** Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος.	2. ca nu cândva să răpească ca un leu sufletul meu, nefiind cel ce izbăveşte, nici cel ce mântuieşte.
Ψλ7:3 Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσίν μου,	*3. Doamne, Dumnezeul meu, de am făcut aceasta, de este nedreptate în mâinile mele,*	**Ψλ7:3** Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσίν μου,	3. Doamne, Dumnezeul meu, de am făcut aceasta, de este nedreptate în mâinile mele,
Ψλ7:4 εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσίν μοι κακά, ἀποπέσοιν ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός,	*4. de am răsplătit celor ce-mi răsplătesc mie rele, să cad adică de la vrăjmaşii mei desert,*	**Ψλ7:4** Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσίν μοι κακά, ἀποπέσοιν ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.	4. de am răsplătit celor ce-mi răsplătesc mie rele, să cad adică de la vrăjmaşii mei deşert.
Ψλ7:5 καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.	*5. să prigonească aşadar vrăjmaşul sufletul meu, şi să-l prindă şi să calce la pământ viaţa mea, şi slava mea în ţărână să o aşeze.*	**Ψλ7:5** Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.	5. Să prigonească aşadar vrăjmaşul sufletul meu, şi să-l prindă şi să calce la pământ viaţa mea, şi slava mea în ţărână să o aşeze.
Ψλ7:6 ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου· ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω,	*6. Scoală-Te, Doamne, întru mânia (urgia) Ta, înalţă-Te întru hotarele vrăjmaşilor mei; scoală-Te, Doamne Dumnezeul meu, cu porunca care ai poruncit,*	**Ψλ7:6** Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν **σου**. **Ψλ7:7** **Καὶ** ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε, καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.	6. Scoală-Te, Doamne, întru mânia (urgia) Ta, înalţă-Te întru hotarele vrăjmaşilor Tăi. 7. Şi Te scoală, Doamne, Dumnezeul meu, cu porunca care ai poruncit, şi adunare de popoare Te va înconjura; şi pentru aceasta la înălţime Te întoarce.
Ψλ7:7 καὶ συναγωγὴ λαῶν κυκλώσει σε, καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.	*7. şi adunare de popoare Te va înconjura, şi pentru aceasta la înălţime Te întoarce.*		
Ψλ7:8 Κύριος κρινεῖ λαούς· κρῖνόν με, Κύριε, κατὰ τὴν	*8. Domnul va judeca popoarele; judecă-mă, Doamne, după*	**Ψλ7:8** Κύριος κρινεῖ λαούς. κρῖνόν με, Κύριε, κατὰ τὴν	8. Domnul va judeca popoarele. Judecă-mă, Doamne, după dreptatea

δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ’ ἐμοί.	*dreptatea mea și după nerăutatea mea asupra mea.*	δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ’ ἐμοί.	mea, şi după nerăutatea mea asupra mea.
Ψλ7:9 συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον· ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.	*9. Sfârșească-se așadar viclenia păcătoșilor, și vei îndrepta pe cel drept, Cel ce cerci inimile și rărunchii, Dumnezeule.*	**Ψλ7:9** Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.	9. Sfârşească-se aşadar viclenia păcătoşilor, şi vei îndrepta pe cel drept, Cel ce cerci inimile şi rărunchii, Dumnezeule.
Ψλ7:10 δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.	*10. Dreptatea este ajutorul meu de la Dumnezeu, Cel ce mântuiește pe cei drepți la inimă.*	**Ψλ7:10** Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ, τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.	10. Dreptatea este ajutorul meu de la Dumnezeu, Cel ce mântuieşte pe cei drepţi la inimă.
Ψλ7:11 ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος μὴ ὀργὴν ἐπάγων καθ’ ἑκάστην ἡμέραν.	*11. Dumnezeu este judecător drept și tare și îndelung răbdător, neaducând mânie (urgia) în fiecare zi.*	**Ψλ7:11** Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος, **καὶ** μὴ ὀργὴν ἐπάγων καθ’ ἑκάστην ἡμέραν.	11. Dumnezeu este judecător drept şi tare şi îndelung răbdător, şi nu aduce mânie (urgia) în fiecare zi.
Ψλ7:12 ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινεν καὶ ἡτοίμασεν αὐτὸ·	*12. De nu vă veți întoarce, sabia Sa o va luci; arcul Său l-a încordat și l-a gătit pe el;*	**Ψλ7:12** Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινεν καὶ ἡτοίμασεν αὐτὸ.	12. De nu vă veţi întoarce, sabia Sa o va luci, arcul Său l-a încordat şi l-a gătit pe el.
Ψλ7:13 καὶ ἐν αὐτῷ ἡτοίμασεν σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.	*13. și într-însul a gătit vasele morții, săgețile Lui celor ce se ard le-a lucrat.*	**Ψλ7:13** Καὶ ἐν αὐτῷ ἡτοίμασεν σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.	13. Şi într-însul a gătit vasele morţii, săgeţile Sale celor ce se ard le-a lucrat.
Ψλ7:14 ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβεν πόνον καὶ ἔτεκεν ἀνομίαν·	*14. Iată a chinuit nedreptate, zămislit-a durere și a născut fărădelege;*	**Ψλ7:14** Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβεν πόνον καὶ ἔτεκεν ἀνομίαν.	14. Iată, a chinuit nedreptate, zămislit-a durere şi a născut fărădelege.
Ψλ7:15 λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτὸν καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο·	*15. groapă a deschis și a săpat-o (adâncit-o) și va cădea în groapa, pe care a făcut-o (lucrat-o);*	**Ψλ7:15** Λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο.	15. Groapă a săpat şi a deschis-o, şi va cădea în groapa pe care a făcut-o.
Ψλ7:16 ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.	*16. întoarce-se-va durerea lui pe (la) capul lui, și pe creștetul lui nedreptatea lui se va pogorî.*	**Ψλ7:16** Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.	16. Întoarce-se-va durerea lui pe capul lui, şi pe creştetul lui nedreptatea lui se va pogorî.
Ψλ7:17 ἐξομολογήσομαι Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.	*17. Mărturisi-mă-voi Domnului după dreptatea Lui și voi cânta numele Domnului Celui Preaînalt.*	**Ψλ7:17** Ἐξομολογήσομαι **τῷ** Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.	17. Mărturisi-mă-voi Domnului după dreptatea Lui, şi voi cânta numele Domnului Celui Preaînalt.

ΨΑΛΜΟΣ Η΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 8* *Întru sfârşit, pentru linuri (teascuri); psalm a lui David.*	ΨΑΛΜΟΣ Η΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 8* *Întru sfârşit, pentru teascuri; psalm al lui David.*
Ψλ8:1 Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.	*1. Doamne, Domnul nostru, cât este de minunat numele Tău în tot pământul; că s-a înălțat mare cuviința Ta mai presus de ceruri.*	**Ψλ8:1** Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.	1. Doamne, Domnul nostru, cât este de minunat numele Tău în tot pământul! Că s-a înălţat mare cuviinţa Ta mai presus de ceruri.
Ψλ8:2 ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.	*2. Din gura pruncilor și a celor ce sug ai săvârșit laudă, pentru vrăjmașii Tăi, ca să sfărâmi vrăjmașul și izbânditorul.*	**Ψλ8:2** Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.	2. Din gura pruncilor şi a celor ce sug ai săvârşit laudă, pentru vrăjmaşii Tăi, ca să sfărâmi vrăjmaşul şi izbânditorul.
Ψλ8:3 ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.	*3. Că voi vedea cerurile, lucrul degetelor Tale, luna și stelele, pe care Tu le-ai întemeiat.*	**Ψλ8:3** Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.	3. Că voi vedea cerurile, lucrul degetelor Tale, luna şi stelele, pe care Tu le-ai întemeiat.
Ψλ8:4 τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;	*4. Ce este omul, că-l pomenești pe el, sau fiul omului, că-l cercetezi pe el?*	**Ψλ8:4** Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;	4. Ce este omul, că-l pomeneşti pe el? Sau fiul omului, că-l cercetezi pe el?
Ψλ8:5 ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν· **Ψλ8:6** καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ,	*5. Micșoratu-l-ai pe dânsul cu puțin față de îngeri, cu slavă și cu cinste l-ai încununat pe el,* *6. și l-ai pus pe dânsul peste lucrurile mâinilor Tale, toate le-ai supus sub picioarele lui,*	**Ψλ8:5** Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. **Ψλ8:6** Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας **ἁπάσας**, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου,	5. Micşoratu-l-ai pe el cu puţin faţă de îngeri, cu slavă şi cu cinste l-ai încununat pe el, şi l-ai pus pe dânsul peste lucrul mâinilor Tale. 6. Toate le-ai supus sub picioarele lui: oile şi boii, toate, iar încă şi dobitoacele câmpului,
Ψλ8:7 πρόβατα καὶ βόας πάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου,	*7. oile și boii, toate, iar încă și dobitoacele câmpului,*		
Ψλ8:8 τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.	*8. păsările cerului și peștii mării, cele ce străbat cărările mărilor.*	**Ψλ8:7** τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.	7. păsările cerului şi peştii mării, cele ce străbat cărările mărilor.
Ψλ8:9 Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.	*9. Doamne, Domnul nostru, cât este de minunat numele Tău în tot pământul.*	**Ψλ8:8** Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Δόξα...	8. Doamne, Domnul nostru, cât este de minunat numele Tău în tot pământul. Slavă…

ΨΑΛΜΟΣ Θ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 9* *Întru sfârşit, pentru cele ascunse ale fiului; psalm a lui David.*	ΚΑΘΙΣΜΑ ΔΕΥΤΕΡΟΝ ΨΑΛΜΟΣ Θ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ψαλμὸς τῷ Δαυῒδ.	Catisma a doua *PSALMUL 9* *Întru sfârşit, pentru cele ascunse ale fiului; psalm a lui David.*
Ψλ9:1 Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου·	*1. Mărturisi mă-voi Ţie, Doamne, cu toată inima mea, spune-voi toate minunile Tale;*	**Ψλ9:1** Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.	1. Mărturisi-mă-voi Ţie, Doamne, cu toată inima mea, spune-voi toate minunile Tale.
Ψλ9:2 εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί, ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε.	*2. veseli-mă-voi şi mă voi bucura întru Tine, cânta-voi numele Tău, Preaînalte.*	**Ψλ9:2** Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί, ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε.	2. Veseli-mă-voi şi mă voi bucura întru Tine, cânta-voi numele Tău, Preaînalte.
Ψλ9:3 ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω ἀσθενήσουσιν καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου,	*3. Când se vor întoarce vrăjmaşii mei înapoi, slăbi-vor şi vor pieri de la faţa Ta,*	**Ψλ9:3** Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσιν καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.	3. Când se vor întoarce vrăjmaşii mei înapoi, slăbi-vor şi vor pieri de la faţa Ta.
Ψλ9:4 ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην.	*4. că ai făcut judecata mea şi îndreptarea mea, şezut-ai pe scaun (tron), Cel ce judeci dreptatea.*	**Ψλ9:4** Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην.	4. Că ai făcut judecata mea şi îndreptarea mea, şezut-ai pe scaun, Cel ce judeci dreptatea.
Ψλ9:5 ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής, τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·	*5. Certat-ai neamurile, şi a pierit necinstitorul; numele lui l-ai stins în veac şi în veacul veacului;*	**Ψλ9:5** Ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής, τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	5. Certat-ai neamurile, şi a pierit necinstitorul; numele lui l-ai stins în veac şi în veacul veacului.
Ψλ9:6 τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες, ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχους.	*6. vrăjmaşului i-au lipsit săbiile întru sfârşit, şi cetăţi ai sfărâmat, pierit-a pomenirea lui cu sunet.*	**Ψλ9:6** Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες.	6. Vrăjmaşului i-au lipsit săbiile întru sfârşit, şi cetăţi ai sfărâmat.
Ψλ9:7 καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει, ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ,	*7. Şi Domnul în veac rămâne, gătit-a la judecată scaunul Său,*	**Ψλ9:7** Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' **ἤχου**, καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει.	7. Pierit-a pomenirea lui cu sunet, şi Domnul în veac rămâne.
Ψλ9:8 καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.	*8. şi El va judeca lumea întru dreptate, va judeca popoarele cu îndreptare.*	**Ψλ9:8** Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ, καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.	8. Gătit-a la judecată scaunul Său, şi El va judeca lumea întru dreptate, judeca-va popoarele cu îndreptare.
Ψλ9:9 καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει·	*9. Şi S-a făcut Domnul scăpare săracului, ajutor în vremi bune întru necazuri;*	**Ψλ9:9** Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει.	9. Şi S-a făcut Domnul scăpare săracului, ajutor în vremi bune, întru necazuri.
Ψλ9:10 καὶ	*10. şi să nădăjduiască*	**Ψλ9:10** Καὶ	10. Şi să nădăjduiască

ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.	*spre Tine cei ce cunosc numele Tău, că n-ai părăsit pe cei ce Te caută pe Tine, Doamne.*	ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.	spre Tine cei ce cunosc numele Tău, că nu ai părăsit pe cei ce Te caută pe Tine, Doamne.
Ψλ9:11 ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιων, ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἐπιτηδεύματα αὐτοῦ,	*11. Cântați Domnului, Celui ce locuiește în Sion, vestiți între neamuri isprăvile (faptele) Lui,*	**Ψλ9:11** Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιων, ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἐπιτηδεύματα αὐτοῦ.	11. Cântaţi Domnului, Celui ce locuieşte în Sion, vestiţi între neamuri isprăvile (faptele) Lui.
Ψλ9:12 ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.	*12. că (Cel ce) caută sângiurile lor Și-a adus aminte, nu a uitat strigarea săracilor.*	**Ψλ9:12** Ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.	12. Că Cel ce caută a sângiurile lor Şi-a adus aminte, nu a uitat strigarea săracilor.
Ψλ9:13 ἐλέησόν με, Κύριε, ἰδὲ τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου, ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,	*13. Miluiește-mă, Doamne, vezi smerenia mea de către vrăjmașii mei, Cel ce mă înalți din porțile morții,*	**Ψλ9:13** Ἐλέησόν με, Κύριε, ἰδὲ τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου, ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,	13. Miluieşte-mă, Doamne, vezi smerenia mea de către vrăjmaşii mei, Cel ce mă înalţi pe mine din porţile morţii,
Ψλ9:14 ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιων· ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου.	*14. ca să vestesc toate laudele Tale în porțile fiicei Sionului; bucura-mă-voi de mântuirea Ta.*	**Ψλ9:14** Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιων· **ἀγαλλιασόμεθα** ἐπὶ τῷ σωτηρίῳ σου.	14. ca să vestesc toate laudele Tale în porţile fiicei Sionului; bucurane-vom de mântuirea Ta.
Ψλ9:15 ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν, ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήμφθη ὁ ποὺς αὐτῶν·	*15. Afundatu-s-au neamurile întru stricăciunea pe care au făcut-o, în cursa aceasta, pe care au ascuns-o, s-a prins piciorul lor;*	**Ψλ9:15** Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν, ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήμφθη ὁ ποὺς αὐτῶν.	15. Afundatu-s-au neamurile întru stricăciunea pe care au făcut-o, în cursa aceasta pe care au ascuns-o, s-a prins piciorul lor.
Ψλ9:16 γινώσκεται Κύριος κρίματα ποιῶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήμφθη ὁ ἁμαρτωλός.	*16. Cunoaște-se Domnul judecăți făcând; întru faptele mâinilor lui s-a prins păcătosul.*	**Ψλ9:16** Γινώσκεται Κύριος κρίματα ποιῶν· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήμφθη ὁ ἁμαρτωλός.	16. Cunoaşte-se Domnul judecăţi făcând; întru faptele mâinilor lui s-a prins păcătosul.
Ψλ9:17 ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ·	*17. Întoarcă-se păcătoșii la iad, toate neamurile cele ce uită pe Dumnezeu;*	**Ψλ9:17** Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.	17. Întoarcă-se păcătoşii la iad, toate neamurile cele ce uită pe Dumnezeu.
Ψλ9:18 ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα.	*18. că nu până în sfârșit va fi uitat săracul, răbdarea săracilor nu va pieri până în veac.*	**Ψλ9:18** Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν **τέλος**.	18. Că nu până în sfârşit va fi uitat săracul, răbdarea săracilor nu va pieri până în sfârşit.
Ψλ9:19 ἀνάστηθι,	*19. Scoală-Te, Doamne,*	**Ψλ9:19** Ἀνάστηθι,	19. Scoală-te, Doamne,

Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου·	*să nu se întărească omul, să se judece neamurile înaintea Ta;*	Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου.	să nu se întărească omul, să se judece neamurile înaintea Ta.
Ψλ9:20 κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.	*20. pune, Doamne, dătător de lege peste ei, să cunoască neamurile că oameni sunt.*	**Ψλ9:20** Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.	20. Pune, Doamne, dătător de lege peste ei, să cunoască neamurile că oameni sunt.
Ψλ9:21 ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψει;	*21. Pentru ce, Doamne, stai departe, treci cu vederea în vremi bune întru necazuri?*	**Ψλ9:21** **Ἱνατί**, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν **θλίψεσιν**;	21. Pentru ce, Doamne, stai departe, treci cu vederea în vremi bune, întru necazuri?
Ψλ9:22 ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός, συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.	*22. Când se mândreşte necinstitorul se aprinde săracul, se prind în sfaturile pe care le gândesc.*	**Ψλ9:22** Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός, συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.	22. Când se mândreşte necinstitorul se aprinde săracul, se prind în sfaturile pe care le gândesc.
Ψλ9:23 ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται·	*23. Că se laudă păcătosul întru poftele sufletului său, şi cel ce face strâmbătate se binecuvântează;*	**Ψλ9:23** Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.	23. Că se laudă păcătosul întru poftele sufletului său, şi cel ce face strâmbătate se binecuvântează.
Ψλ9:24 παρώξυνεν τὸν Κύριον ὁ ἁμαρτωλός Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει· οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ.	*24. întărâtat-a pe Domnul cel păcătos: „După mulţimea mâniei Lui nu va căuta"; nu este Dumnezeu înaintea lui.*	**Ψλ9:24** **Παρώξυνε** τὸν Κύριον ὁ ἁμαρτωλός· Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. **Ψλ9:25** Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ·	24. Întărâtat-a pe Domnul cel păcătos; după mulţimea mâniei Lui nu va căuta. 25. Nu este Dumnezeu înaintea lui;
Ψλ9:25 βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ, ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει·	*25. Spurcate sunt căile lui în toată vremea, lepădate sunt judecăţile Tale de la faţa lui, peste toţi vrăjmaşii lui va stăpâni;*	βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. **Ψλ9:26** Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.	spurcate sunt căile lui în toată vremea. 26. Lepădate sunt judecăţile Tale de la faţa lui, peste toţi vrăjmaşii săi va stăpâni.
Ψλ9:26 εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐ μὴ σαλευθῶ, ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.	*26. că a zis întru inima sa: Nu mă voi clătina, din neam în neam fără de răutate.*	**Ψλ9:27** **Εἶπε** γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐ μὴ σαλευθῶ, ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.	27. Că a zis în inima sa: Nu mă voi clătina, din neam în neam fără de răutate.
Ψλ9:27 οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.	*27. A căruia de blestem gura lui e plină şi de amărăciune şi de vicleşug, sub limba lui osteneală şi durere.*	**Ψλ9:28** Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου, ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.	28. A cărui gură este plină de blestem, şi de amărăciune şi de vicleşug, sub limba lui, osteneală şi durere.
Ψλ9:28 ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῷον, οἱ	*28. Stă la pândă în ascuns cu cei bogaţi, ca să ucidă pe cel nevinovat, ochii lui spre cel sărac privesc;*	**Ψλ9:29** Ἐγκάθηται **ἐν** ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῷον.	29. Stă la pândă în ascuns cu cei bogaţi, ca să ucidă pe cel nevinovat.

ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν·		**Ψλ9:30** Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν·	30. Ochii lui spre cel sărac privesc; pândeşte întru ascuns, ca leul în culcuşul său.
Ψλ9:29 ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ, ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν·	*29. Pândește întru ascuns ca leul în culcușul său, pândește ca să apuce pe sărac, să apuce pe sărac ca să-l tragă la el;*	ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ.	
		Ψλ9:31 Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν.	31. Pândeşte ca să apuce pe sărac, să apuce pe sărac ca să-l tragă la el.
Ψλ9:30 ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν, κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.	*30. în cursa lui îl va smeri pe el, se va pleca și va cădea întru ale lui când va stăpâni pe cei săraci.*	**Ψλ9:32** Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν· κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.	32. În cursa aceasta îl va smeri pe el; se va pleca şi va cădea întru ale lui când va stăpâni pe săraci.
Ψλ9:31 εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεός, ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.	*31. Că a zis întru inima sa: Uitat-a Dumnezeu, întors-a fața Sa ca să nu vadă până în sfârșit.*	**Ψλ9:33** **Εἶπε** γὰρ ἐν καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεός, ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.	33. Că a zis întru inima sa: Uitat-a Dumnezeu, întors-a faţa Sa ca să nu vadă până la sfârşit.
Ψλ9:32 ἀνάστηθι, Κύριε ὁ Θεός, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων.	*32. Scoală-Te, Doamne, Dumnezeul meu, înalță-Se mâna Ta, nu uita pe săraci.*	**Ψλ9:34** Ἀνάστηθι, Κύριε ὁ Θεός, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.	34. Scoală-Te, Doamne, Dumnezeul meu, înalţă-Se mâna Ta, nu uita pe săracii Tăi până în sfârşit.
Ψλ9:33 ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἐκζητήσει.	*33. Pentru ce a întărâtat necinstitorul pe Dumnezeu? Că a zis în inima sa: Nu va căuta.*	**Ψλ9:35** Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; **εἶπε** γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἐκζητήσει.	35. Pentru ce a întărâtat necinstitorul pe Dumnezeu? Că a zis întru inima sa: Nu va căuta.
Ψλ9:34 βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου· σοὶ **οὖν** ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθῶν.	*34. Vezi, că Tu la durere și mânie privești ca să-l dai pe el în mâinile Tale; Ție s-a lăsat săracul, sărmanului (orfanului) Tu fii ajutor.*	**Ψλ9:36** Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου.	36. Vezi, că Tu la durere şi mânie priveşti, ca să-l dai pe el în mâinile Tale.
		Ψλ9:37 Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα **βοηθός**.	37. Ţie s-a lăsat săracul; sărmanului (orfanului), Tu fii ajutor.
Ψλ9:35 σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ **δι' αὐτήν·**	*35. Zdrobește brațul păcătosului și vicleanului, căuta-se-va păcatul lui (Lui) și nu se va afla pentru aceasta;*	**Ψλ9:38** Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ· ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.	38. Zdrobeşte braţul păcătosului şi vicleanului; se va căuta păcatul lui (Lui) şi nu se va afla.
Ψλ9:36 βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ	*36. Împărat este Domnul în veac și în veacul veacului; pieriți, neamuri,*	**Ψλ9:39** Κύριος **βασιλεύς** εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ	39. Domnul este Împărat în veac, şi în veacul veacului; pieriţi,

αἰῶνος, ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.	*din pământul Lui.*	αἰῶνος· ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.	neamuri, din pământul Lui.
Ψλ9:37 τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσεν Κύριος, τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχεν τὸ οὖς σου,	*37. Pofta săracilor o ai auzit, Doamne, la gătirea inimii lor a luat aminte urechea Ta,*	Ψλ9:40 Τὴν ἐπιθυμίαν τῶν πενήτων **εἰσήκουσας Κύριε, τῇ ἑτοιμασίᾳ** τῆς καρδίας αὐτῶν **προσέσχε** τὸ οὖς σου,	40. Pofta săracilor o ai auzit, Doamne, la gătirea inimii lor a luat aminte urechea Ta,
Ψλ9:38 κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.	*38. judecă orfanului și smeritului, ca să nu adauge încă a se mari omul pe pământ.*	Ψλ9:41 Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.	41. judecă orfanului şi smeritului, ca să nu adauge încă a se mari omul pe pământ.
ΨΑΛΜΟΣ Ι΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 10* *Întru sfârșit; psalm al lui David.*	ΨΑΛΜΟΣ Ι΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 10* *Întru sfârşit. Psalm al lui David.*
Ψλ10:1 Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;	*1. Spre Domnul am nădăjduit (Domnului m-am încredințat); cum veți zice sufletului meu: Mută-te în munți ca o pasăre?*	Ψλ10:1 Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου· Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;	1. Spre Domnul am nădăjduit, cum veţi zice sufletului meu: „Mută-te în munţi ca o pasăre”?
Ψλ10:2 ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.	*2. Că iată păcătoșii au încordat arcul, gătit-au săgeți în tolbă, ca să săgeteze întru întuneric pe cei drepți la inimă.*	Ψλ10:2 ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.	2. Că iată păcătoşii au încordat arcul, gătit-au săgeţi din tolbă, ca să săgeteze întru întuneric pe cei drepţi la inimă.
Ψλ10:3 ὅτι ἃ κατηρτίσω, καθεῖλον· ὁ δὲ δίκαιος τί ἐποίησεν;	*3. Că cele ce le-ai săvârșit, le-au stricat; iar dreptul ce a făcut?*	Ψλ10:3 ὅτι ἃ **σὺ** κατηρτίσω, **αὐτοὶ** καθεῖλον· ὁ δὲ δίκαιος τί **ἐποίησε**;	3. Că cele ce Tu le-ai săvârşit, ei le-au stricat; iar dreptul ce a făcut?
Ψλ10:4 Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· Κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.	*4. Domnul în Biserica cea sfântă a Lui; Domnul în cer are scaunul Lui. Ochii Lui la (spre cel) sărac privesc, genele Lui cercetează pe fiii oamenilor.*	Ψλ10:4 Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· Κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. Ψλ10:5 Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.	4. Domnul în Biserica cea sfântă a Lui, Domnul în cer are scaunul Lui. 5. Ochii Lui spre cel sărac privesc, genele Lui cercetează pe fii oamenilor.
Ψλ10:5 Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.	*5. Domnul cercetează pe cel drept și pe cel necinstitor, iar cel ce iubește nedreptatea își urăște sufletul său.*	Ψλ10:6 Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.	6. Domnul cercetează pe cel drept şi pe cel necinstitor, iar cel ce iubeşte nedreptatea îşi urăşte sufletul său.
Ψλ10:6 ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας,	*6. Vărsa-va peste păcătoși curse (lațuri), foc și*	Ψλ10:7 ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας,	7. Vărsa-va peste cei păcătoşi curse, foc şi

πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.	*pucioasă și suflare de vifor partea paharului lor.*	πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.	pucioasă şi suflare de vifor este partea paharului lor.
Ψλ10:7 ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητα εἶδεν τὸ πρόσωπον αὐτοῦ.	*7. Că drept este Domnul și dreptăți a iubit, îndreptări a văzut fața Lui.*	**Ψλ10:8** ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν, **εὐθύτητας εἶδε** τὸ πρόσωπον αὐτοῦ. Δόξα...	8. Că drept este Domnul şi dreptăţi a iubit, îndreptări a văzut faţa Lui. Slavă…
ΨΑΛΜΟΣ ΙΑ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 11* *Întru sfârșit, pentru a opta; psalm al lui David.*	ΨΑΛΜΟΣ ΙΑ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 11* *Întru sfârşit, pentru a opta, psalm al lui David.*
Ψλ11:1 Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.	*1. Mântuiește-mă Doamne, că a lipsit cel cuvios, că s-au împuținat adevărurile de la fiii oamenilor.*	**Ψλ11:1** Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.	1. Mântuieşte-mă, Doamne, că a lipsit cel cuvios, că s-au împuţinat adevărurile de la fiii oamenilor.
Ψλ11:2 μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησαν.	*2. Deșertăciuni a grăit fiecare către aproapele său, buze viclene în inimă, și în inimă au grăit rele.*	**Ψλ11:2** Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά.	2. Deşertăciuni a grăit fiecare către aproapele său, buze viclene în inimă, şi în inimă au grăit rele.
Ψλ11:3 ἐξολεθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια καὶ γλῶσσαν μεγαλορήμονα,	*3. Pierde-va Domnul toate buzele cele viclene, și limba cea mare grăitoare,*	**Ψλ11:3** ἐξολεθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλορήμονα,	3. Pierde-va Domnul toate buzele cele viclene, şi limba cea plină de mândrie,
Ψλ11:4 τοὺς εἰπόντας Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ’ ἡμῶν ἐστιν· τίς ἡμῶν Κύριός ἐστιν;	*4. pe cei ce au zis: Limba noastră o vom mări, buzele noastre la noi sunt; cine ne este nouă Domn?*	**Ψλ11:4** τοὺς εἰπόντας Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ’ ἡμῶν **ἐστι**· τίς ἡμῶν Κύριός ἐστιν;	4. pe cei ce au zis: Limba noastră o vom mări, buzele noastre la noi sunt; cine ne este nouă Domn?
Ψλ11:5 Ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος, θήσομαι ἐν σωτηρίᾳ, παρρησιάσομαι ἐν αὐτῷ.	*5. De necazul săracilor și suspinul nenorociților, acum Mă voi scula, zice Domnul; pune-mă-voi întru mântuire, îndrăzni-voi întru ei.*	**Ψλ11:5** **Ἕνεκεν** τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ ἀπὸ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος· θήσομαι ἐν **σωτηρίῳ**, παρρησιάσομαι ἐν αὐτῷ.	5. Pentru necazul săracilor, şi suspinul nenorociţilor, acum mă voi scula, zice Domnul; pune-Mă-voi întru mântuire, îndrăzni-voi întru ei.
Ψλ11:6 τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ κεκαθαρισμένον	*6. Cuvintele Domnului, cuvinte curate, argint lămurit cu foc, cercat de pământ, curățit de șapte ori.*	**Ψλ11:6** Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον	6. Cuvintele Domnului, cuvinte curate, argint lămurit în foc, cercat de pământ, curăţit de şapte ori.

ἑπταπλασίως.		ἑπταπλασίως.	
Ψλ11:7 σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα.	*7. Tu Doamne ne vei păzi pe noi și ne vei feri de neamul acesta și în veac.*	Ψλ11:7 Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ **διατηρήσαις** ἡμᾶς, ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα.	7. Tu, Doamne, ne vei păzi şi ne vei apăra de neamul acesta şi în veac.
Ψλ11:8 κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν· κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.	*8. Împrejur necinstitori umblă; după înălțimea Ta ai înmulțit pe fiii oamenilor.*	Ψλ11:8 Κύκλῳ οἱ ἀσεβεῖς **περιπατοῦσι**· κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.	8. Împrejur necinstitorii umblă; după înălţimea Ta ai înmulţit pe fiii oamenilor.
ΨΑΛΜΟΣ ΙΒ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 12* *Întru sfârșit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΙΒ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 12* *Întru sfârşit. Psalm al lui David.*
Ψλ12:1 Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;	*1. Până când, Doamne, mă vei uita până în sfârșit? Până când întorci fața Ta de la mine?*	Ψλ12:1 Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;	1. Până când, Doamne, mă vei uita până în sfârşit? Până când întorci faţa Ta de la mine?
Ψλ12:2 ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ; Ψλ12:3 ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου· φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον,	*2. Până când pune-voi sfaturi în sufletul meu, durere în inima mea, ziua și noaptea? Până când se va înălța vrăjmașul meu asupra mea?* *3. Caută, auzi-mă, Doamne Dumnezeul meu; luminează ochii mei, ca nu cândva să adorm întru moarte,*	Ψλ12:2 ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; Ψλ12:3 ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ᾽ ἐμέ; ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου· Ψλ12:4 φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον,	2. Până când pune-voi sfaturi în sufletul meu, durere în inima mea ziua şi noaptea? 3. Până când se va înălţa vrăjmaşul meu asupra mea? Caută, auzi-mă, Doamne, Dumnezeul meu. 4. Luminează ochii mei, ca nu cumva să adorm întru moarte,
Ψλ12:4 μήποτε εἴπῃ ὁ ἐχθρός μου Ἴσχυσα πρὸς αὐτόν· οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ.	*4. ca nu cândva să zică vrăjmașul meu: Întăritu-m-am asupra lui; cei ce mă necăjesc se vor bucura, de mă voi clătina.*	μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν. Ψλ12:5 Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ·	ca nu cumva (cândva) să zică vrăjmaşul meu: „Întăritu-m-am asupra lui”. 5. Cei ce mă necăjesc se vor bucura de mă voi clătina;
Ψλ12:5 ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα, ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου· ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.	*5. Iar eu spre mila Ta am nădăjduit, bucura-se-va inima mea de mântuirea Ta; cânta-voi Domnului Celui ce mi-a făcut mie bine, și voi cânta numelui Domnului Celui Preaînalt.*	ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Ψλ12:6 ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου· ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.	iar eu spre mila Ta am nădăjduit. 6. Bucura-se-va inima mea de mântuirea Ta; cânta-voi Domnului, Celui ce mi-a făcut mie bine, şi voi cânta numelui Domnului Celui Preaînalt.

ΨΑΛΜΟΣ ΙΓ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 13* *Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΙΓ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 13* *Întru sfârşit; psalm al lui David.*
Ψλ13:1 Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστιν Θεός· διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.	*1. Zis-a cel nebun întru inima sa: Nu este Dumnezeu; Stricatu-s-au şi urâţi s-au făcut întru meşteşuguri, nu este cel ce face bunătate, nu este până la unul.*	**Ψλ13:1** Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστιν Θεός. Διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.	1. Zis-a cel nebun întru inima sa: Nu este Dumnezeu. Stricatu-s-au şi urâţi s-au făcut întru meşteşugiri, nu este cel ce face bunătate, nu este până la unul.
Ψλ13:2 Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστιν συνίων ἢ ἐκζητῶν τὸν Θεόν.	*2. Domnul din cer a privit peste fiii oamenilor, să vadă de este cel ce înţelege, sau cel ce caută pe Dumnezeu.*	**Ψλ13:2** Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστιν συνίων ἢ ἐκζητῶν τὸν Θεόν.	2. Domnul din cer a privit peste fiii oamenilor, să vadă de este cel ce înţelege, sau cel ce caută pe Dumnezeu.
Ψλ13:3 πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν, οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.	*3. Toţi s-au abătut, împreună netrebnici s-au făcut; nu este cel ce face bunătate, nu este până la unul.*	**Ψλ13:3** Πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν, οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.	3. Toţi s-au abătut, împreună-netrebnici s-au făcut, nu este cel ce face bunătate, nu este până la unul.
Ψλ13:4 οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; οἱ κατεσθίοντες τὸν λαόν μου βρώσει ἄρτου τὸν Κύριον οὐκ ἐπεκαλέσαντο.	*4. Au nu vor cunoaşte toţi cei ce lucrează fărădelegea? Cei ce mănâncă pe poporul Meu întru mâncare ca pâinea pe Domnul nu l-au chemat.*	**Ψλ13:4** Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; οἱ κατεσθίοντες τὸν λαόν μου βρώσει **ἄρτου;**	4. Au nu vor cunoaşte toţi cei ce lucrează fărădelegea, cei ce mănâncă pe poporul Meu întru mâncare ca pâinea?
Ψλ13:5 ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος, ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίᾳ.	*5. Acolo s-au temut de frică, unde nu era frică, că Dumnezeu este în neamul drepţilor.*	**Ψλ13:5** Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο· ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος, ὅτι **Κύριος** ἐν γενεᾷ **δικαίων**.	5. Pe Domnul nu l-au chemat; acolo s-au temut de frică, unde nu era frică, că Domnul este în neamul drepţilor.
Ψλ13:6 βουλὴν πτωχοῦ κατῃσχύνατε, ὅτι Κύριος ἐλπὶς αὐτοῦ ἐστιν.	*6. Sfatul săracului l-aţi ruşinat, că Domnul nădejdea lui este.*	**Ψλ13:6** Βουλὴν πτωχοῦ κατῃσχύνατε, **ὁ δὲ** Κύριος ἐλπὶς αὐτοῦ **ἐστι**.	6. Sfatul săracului l-aţi ruşinat, iar Domnul nădejdea lui este.
Ψλ13:7 τίς δώσει ἐκ Σιων τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσθω Ἰακὼβ καὶ εὐφρανθήτω Ἰσραήλ.	*7. Cine va da din Sion mântuirea lui Israel? Când va întoarce Domnul robia poporului Său, bucura-se-va Iacov şi se va veseli Israel.*	**Ψλ13:7** Τίς δώσει ἐκ Σιων τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ **ἀγαλλιάσεται** Ἰακὼβ καὶ **εὐφρανθήσεται** Ἰσραήλ. Δόξα...	7. Cine va da din Sion mântuirea lui Israel? Când va întoarce Domnul robia poporului Său, bucura-se-va Iacov şi se va veseli Israel. Slavă…

ΨΑΛΜΟΣ ΙΔ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 14* *Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΙΔ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 14* *Întru sfârşit; psalm al lui David.*
Ψλ14:1 Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου **καὶ** τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου;	*1. Doamne, cine va locui în locaşul Tău şi cine se va sălăşlui în muntele cel sfânt al Tău?*	**Ψλ14:1** Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί **σου; ἢ** τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου;	1. Doamne, cine va locui în locaşul Tău? Sau cine se va sălăşlui în muntele cel sfânt al Tău?
Ψλ14:2 πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην, λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ,	*2. Cel ce umblă fără prihană şi lucrează dreptatea, cel ce grăieşte adevăr în inima sa,*	**Ψλ14:2** Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην, λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ.	2. Cel ce umblă fără prihană şi lucrează dreptatea, cel ce grăieşte adevăr în inima sa.
Ψλ14:3 ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ **οὐδὲ** ἐποίησεν καὶ τῷ πλησίον αὐτοῦ κακὸν καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ.	*3. care n-a viclenit cu limba sa, nici a făcut aproapelui său rău, şi ocară nu a primit asupra celor de aproape ai săi.*	**Ψλ14:3** Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ **καὶ οὐκ ἐποίησε** τῷ πλησίον αὐτοῦ κακὸν καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ.	3. Care n-a viclenit cu limba sa, şi nu a făcut aproapelui său rău, şi ocară n-a primit asupra celor de aproape ai săi.
Ψλ14:4 ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους Κύριον δοξάζει· ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν·	*4. Defăimatu-s-a înaintea lui cel ce vicleneşte, iar pe cei ce se tem de Domnul îi slăveşte; cel ce se jură aproapelui său şi nu se leapădă;*	**Ψλ14:4** Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους Κύριον δοξάζει.	4. Defăimatu-s-a înainte lui cel ce vicleneşte, iar pe cei ce se tem de Domnul îi slăveşte.
Ψλ14:5 τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν. ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.	*5. argintul său nu l-a dat cu camătă, şi daruri asupra celor nevinovaţi n-a luat. Cel ce face acestea, nu se va clătina în veac.*	**Ψλ14:5** Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν· τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν. **Ψλ14:6** Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.	5. Cel ce se jură aproapelui său şi nu se leapădă; argintul său nu l-a dat cu camătă şi daruri asupra celor nevinovaţi n-a luat. 6. Cel ce face acestea nu se va clătina în veac.
ΨΑΛΜΟΣ ΙΕ΄. Στηλογραφία τῷ Δαυῒδ.	*PSALMUL 15* *Inscripţia lui David.*	ΨΑΛΜΟΣ ΙΕ΄. Στηλογραφία τῷ Δαυῒδ.	*PSALMUL 15* *Inscripţia lui David.*
Ψλ15:1 Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. **Ψλ15:2** εἶπα τῷ Κυρίῳ· Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.	*1. Păzeşte-Mă Doamne, că spre Tine am nădăjduit.* *2. Zis-am Domnului: Domnul Meu eşti Tu, că bunătăţile Mele nu-Ţi trebuie.*	**Ψλ15:1** Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. Εἶπα τῷ Κυρίῳ· Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.	1. Păzeşte-mă, Doamne, că spre Tine am nădăjduit. Zis-am Domnului: Domnul Meu eşti Tu, că bunătăţile Mele nu-Ţi trebuie.
Ψλ15:3 τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν πάντα τὰ	*3. Sfinţilor celor din pământul Lui, minunate a făcut toate voile Sale*	**Ψλ15:2** Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ	2. Sfinţilor celor din pământul Lui, minunate a făcut Domnul toate

θελήματα αὐτοῦ ἐν αὐτοῖς.	*întru dânşii.*	Κύριος, πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.	voile Sale întru dânşii.
Ψλ15:4 ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν· οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.	*4. Înmulţitu-s-au slăbiciunile lor, după acestea s-au sârguit; nu voi aduna adunările lor din sângiuiri, nici nu voi pomeni numele lor prin buzele Mele.*	**Ψλ15:3** ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν. **Ψλ15:4** Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, **οὐδ' οὐ** μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.	3. Înmulţitu-s-au slăbiciunile lor, după acestea s-au sârguit. 4. Nu voi aduna adunările lor din sângiuiri, nici nu voi pomeni numele lor prin buzele Mele.
Ψλ15:5 Κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου· σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.	*5. Domnul este partea moştenirii Mele şi a paharului Meu; Tu eşti Cel ce iarăşi aşezi moştenirea Mea Mie.*	**Ψλ15:5** Κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου· σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.	5. Domnul este partea moştenirii Mele şi a paharului Meu; Tu eşti Cel ce iarăşi aşezi moştenirea Mea Mie.
Ψλ15:6 σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν.	*6. Funiile Mi-au căzut întru cei puternici; şi că moştenirea Mea puternică-Mi (sub puterea Mea) este.*	**Ψλ15:6** Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις, καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν.	6. Funiile mi-au căzut între cei puternici, şi că moştenirea Mea puternică-Mi este.
Ψλ15:7 εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.	*7. Bine voi cuvânta pe Domnul, Cel ce M-a înţelepţit pe Mine; încă şi până în noapte M-au pedepsit rărunchii Mei.*	**Ψλ15:7** Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.	7. Bine voi cuvânta pe Domnul, Cel ce M-a înţelepţit pe Mine, încă şi până în noapte M-au pedepsit rărunchii Mei.
Ψλ15:8 προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.	*8. Mai-nainte am văzut pe Domnul înaintea Mea pururea, că de-a dreapta Mea este, ca să nu Mă clatin.*	**Ψλ15:8** Προωρώμην τὸν Κύριον ἐνώπιόν μου **διαπαντός**, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.	8. Mai-nainte am văzut pe Domnul înaintea Mea pururea, că de-a dreapta Mea este, ca să nu Mă clatin.
Ψλ15:9 διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι,	*9. Pentru aceasta s-a veselit inima Mea, şi s-a bucurat limba Mea; încă şi trupul Meu se va sălăşlui spre nădejde,*	**Ψλ15:9** Διὰ τοῦτο **εὐφράνθη** ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.	9. Pentru aceasta s-a veselit inima Mea, şi s-a bucurat limba Mea, încă şi trupul Meu se va sălăşlui spre nădejde.
Ψλ15:10 ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.	*10. că nu vei lăsa sufletul Meu în iad, nici nu vei da pe Cel cuvios al Tău să vadă stricăciune.*	**Ψλ15:10** ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.	10. Că nu vei lăsa sufletul Meu în iad, nici nu vei da pe Cel cuvios al Tău să vadă stricăciune.
Ψλ15:11 ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου, τερπνότητες ἐν τῇ δεξιᾷ	*11. Cunoscute Mi-ai făcut căile vieţii; umplea-Mă-vei de veselie cu faţa Ta, frumuseţe (bucurie şi*	**Ψλ15:11** ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου· τερπνότητες ἐν τῇ δεξιᾷ	11. Cunoscute Mi-ai făcut căile vieţii, umplea-Mă-vei de veselie cu faţa Ta; cu bucurie de-a dreapta Ta

σου εἰς τέλος.	*veselie) în dreapta Ta întru sfârşit.*	σου εἰς τέλος.	întru sfârşit.
ΨΑΛΜΟΣ ΙΣΤ΄. Προσευχὴ τοῦ Δαυΐδ.	*PSALMUL 16* *O rugăciune a lui David.*	ΨΑΛΜΟΣ ΙΣΤ΄. Προσευχὴ τοῦ Δαυΐδ.	*PSALMUL 16* *O rugăciune a lui David.*
Ψλ16:1 Εἰσάκουσον, Κύριε, τῆς δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου, ἐνώτισαι τῆς προσευχῆς μου οὐκ ἐν χείλεσιν δολίοις.	*1. Ascultă, Doamne, dreptatea mea, ia aminte cererea mea, ia în urechi rugăciunea mea nu întru buze viclene.*	**Ψλ16:1** Εἰσάκουσον, Κύριε, τῆς δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου, ἐνώτισαι τῆς προσευχῆς μου οὐκ ἐν χείλεσιν δολίοις.	1. Ascultă, Doamne, dreptatea mea, ia aminte cererea mea, ia în urechi rugăciunea mea nu din buze viclene.
Ψλ16:2 ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.	*2. De la faţa Ta judecata mea să iasă, ochii mei să vadă dreptăţi.*	**Ψλ16:2** ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι, οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.	2. De la faţa Ta, judecata mea să iasă, ochii meii să vadă dreptăți.
Ψλ16:3 ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.	*3. Cercat-ai inima mea, noaptea ai cercetat-o; cu foc m-ai lămurit, şi nu s-a aflat întru mine nedreptate.*	**Ψλ16:3** ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.	3. Cercat-ai inima mea, noaptea ai cercetat-o; cu foc m-ai lămurit, şi nu s-a aflat întru mine nedreptate.
Ψλ16:4 ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.	*4. Ca să nu grăiască gura mea lucruri omeneşti, pentru cuvintele buzelor Tale, eu am păzit căi aspre.*	**Ψλ16:4** ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.	4. Ca să nu grăiască gura mea lucruri omeneşti, pentru cuvintele buzelor Tale, eu am păzit căi aspre.
Ψλ16:5 κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσιν τὰ διαβήματά μου.	*5. Îndreptează paşii mei întru cărările Tale, ca să nu se clatine paşii mei.*	**Ψλ16:5** Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσιν τὰ διαβήματά μου.	5. Îndreptează paşii mei întru cărările Tale, ca să nu se clatine paşii mei.
Ψλ16:6 ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου.	*6. Eu am strigat, că m-ai auzit, Dumnezeule; pleacă urechea Ta către mine şi ascultă graiurile mele.*	**Ψλ16:6** ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου.	6. Eu am strigat, că m-ai auzit, Dumnezeule; pleacă urechea Ta către mine şi ascultă graiurile mele.
Ψλ16:7 θαυμάστωσον τὰ ἐλέη σου, ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου.	*7. Minunate fă milele Tale, Cel ce mântuieşti pe cei ce nădăjduiesc spre Tine de cei ce stau împotriva dreptei Tale.*	**Ψλ16:7** Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ. **Ψλ16:8** ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με, **Κύριε**, ὡς κόραν ὀφθαλμοῦ.	7. Minunate fă milele Tale, Cel ce mântuieşti pe cei ce nădăjduiesc spre Tine. 8. De cei ce stau împotriva dreptei Tale păzeşte-mă, Doamne, ca pe lumina ochiului.
Ψλ16:8 φύλαξόν με ὡς κόραν ὀφθαλμοῦ· ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με	*8. Păzeşte-mă ca lumina ochiului; întru acoperemântul aripilor Tale mă vei acoperi*	**Ψλ16:9** ἐν σκέπῃ τῶν πτερύγων σου	9. Întru acoperământul aripilor Tale mă vei

Ψλ16:9 ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον· **Ψλ16:10** τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.	*9. de către faţa necinstitorilor care m-au necăjit pe mine. Vrăjmaşii mei sufletul meu l-au cuprins;* *10. grăsimea lor au încuiat, gura lor a grăit mândrie.*	σκεπάσεις με, ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. **Ψλ16:10** Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον· τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.	acoperi, de către faţa necinstitorilor care m-au necăjit pe mine. 10. Vrăjmaşii mei sufletul meu l-au cuprins; grăsimea lor au încuiat, gura lor a grăit mândrie.
Ψλ16:11 ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.	*11. Scoţându-mă acum m-au încunjurat, ochii lor şi-au pus ca să mă plece la pământ.*	**Ψλ16:11** ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.	11. Scoţându-mă acum, m-au înconjurat, ochii lor şi-au pus ca să mă plece la pământ.
Ψλ16:12 ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.	*12. Apucatu-m-au ca un leu gata la vânat, şi ca un pui de leu ce locuieşte în ascunzişuri.*	**Ψλ16:12** ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.	12. Apucatu-m-au ca un leu gata de vânat şi ca un pui de leu ce locuieşte în ascunzişuri.
Ψλ16:13 ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.	*13. Scoală-Te Doamne, întâmpină-i pe ei şi-i împiedică; izbăveşte sufletul meu de cel necinstitor, cu sabia Ta de la vrăjmaşii mâinii Tale.*	**Ψλ16:13** ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.	13. Scoală-Te, Doamne, întâmpină-i pe ei şi-i împiedică; izbăveşte sufletul meu de cel necinstitor, cu sabia Ta de la vrăjmaşii mâinii Tale.
Ψλ16:14 Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν, ἐχορτάσθησαν υἱῶν καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.	*14. Doamne, din puţini de pe pământ, desparte-i pe ei în viaţa lor. Şi de cele ascunse ale Tale s-a umplut pântecele lor, săturatu-s-au fiii şi au lăsat rămăşiţele pruncilor lor.*	**Ψλ16:14** Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. **Ψλ16:15** ἐχορτάσθησαν **ὑείων**, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.	14. Doamne, din puţini de pe pământ, desparte-i pe ei în viaţa lor, şi de cele ascunse ale Tale s-a umplut pântecele lor. 15. Săturatu-s-au fii lor, şi au lăsat rămăşiţele pruncilor lor.
Ψλ16:15 ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου.	*15. Iar eu întru dreptate mă voi arăta feţei Tale, sătura-mă-voi când se va arăta slava Ta.*	**Ψλ16:16** ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναι **μοι** τὴν δόξαν σου. Δόξα...	16. Iar eu întru dreptate mă voi arăta feţei Tale, sătura-mă-voi când mi se va arăta slava Ta. Slavă…

ΨΑΛΜΟΣ ΙΖ΄. Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαυῒδ, ἃ ἐλάλησεν τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαουλ, καὶ εἶπεν·	*PSALMUL 17* *Întru sfârşit, slugii Domnului, lui David, care a grăit Domnului cuvintele cântării acesteia în ziua în care l-a izbăvit pe el Domnul din mâna tuturor vrăjmaşilor şi din mâna lui Saul, şi a zis:*	ΚΑΘΙΣΜΑ ΤΡΙΤΟΝ ΨΑΛΜΟΣ ΙΖ΄. Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαυῒδ, ἃ ἐλάλησεν τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαουλ, καὶ εἶπεν·	Catisma a treia *PSALMUL 17* *Întru sfârşit, slugii Domnului, lui David, care a grăit Domnului cuvintele cântării acesteia în ziua în care l-a izbăvit pe el Domnul din mâna tuturor vrăjmaşilor şi din mâna lui Saul, şi a zis:*
Ψλ17:1 Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου. **Ψλ17:2** Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.	*1. Iubite-voi, Doamne, vârtutea mea.* *2. Domnul este întărirea mea, şi scăparea mea, şi izbăvitorul meu.*	**Ψλ17:1** Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.	1. Iubi-Te-voi, Doamne, vârtutea mea; Domnul este întărirea mea, şi scăparea mea, şi izbăvitorul meu.
Ψλ17:3 Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν, ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου καὶ ἀντιλήμπτωρ μου.	*3. Dumnezeul meu, ajutorul meu, şi voi nădăjdui spre Dânsul, apărătorul meu şi cornul mântuirii mele şi sprijinitorul meu.*	**Ψλ17:2** Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν, ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου καὶ **ἀντιλήπτωρ** μου.	2. Dumnezeul meu, ajutorul meu, şi voi nădăjdui spre Dânsul, apărătorul meu şi cornul mântuirii mele, şi sprijinitorul meu.
Ψλ17:4 αἰνῶν ἐπικαλέσομαι Κύριον καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.	*4. Lăudând, voi chema pe Domnul, şi de vrăjmaşii mei mă voi mântui.*	**Ψλ17:3** Αἰνῶν ἐπικαλέσομαι Κύριον καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.	3. Lăudând, voi chema pe Domnul, şi de vrăjmaşii mei mă voi mântui.
Ψλ17:5 περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με.	*5. Cuprinsu-m-au durerile morţii şi râurile fărădelegii m-au tulburat.*	**Ψλ17:4** Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με.	4. Cuprinsu-m-au durerile morţii şi râurile fărădelegii m-au tulburat.
Ψλ17:6 ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου.	*6. Durerile iadului m-au înconjurat, întâmpinatu-m-au cursele morţii.*	**Ψλ17:5** ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου.	5. Chinurile iadului m-au înconjurat, îmtâmpinatu-m-au cursele morţii.
Ψλ17:7 καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα· ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.	*7. Şi când mă necăjeam am chemat pe Domnul şi către Dumnezeul meu am strigat; auzit-a din Biserica cea sfântă a Sa glasul meu, şi strigarea mea înaintea Lui va intra în urechile Lui.*	**Ψλ17:6** Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα· **Ψλ17:7** ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.	6. Şi când mă necăjeam am chemat pe Domnul, şi către Dumnezeul meu am strigat. 7. Auzit-a glasul meu din Biserica cea sfântă a Lui, şi strigarea mea înaintea Lui va intra în urechile Lui.
Ψλ17:8 καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν	*8. Şi s-a clătinat şi s-a cutremurat pământul, şi temeliile munţilor s-au*	**Ψλ17:8** Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν	8. Şi s-a clătinat şi s-a cutremurat pământul, şi temeliile munţilor s-au

ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.	*tulburat şi s-au clătinat; că s-a mâniat pe ele Dumnezeu.*	ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.	tulburat şi s-au clătinat, că s-a mâniat pe ele Dumnezeu.
Ψλ17:9 ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισεν, ἄνθρακες ἀνήφθησαν ἀπ’ αὐτοῦ.	*9. Suitu-s-a fum întru mânia Lui, şi foc de la faţa Lui se va aprinde; cărbunii s-au aprins de la Dânsul.*	**Ψλ17:9** ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισεν, ἄνθρακες ἀνήφθησαν ἀπ’ αὐτοῦ.	9. Suitu-s-a fum întru mânia Lui, şi foc de la faţa Lui se va aprinde; cărbuni s-au aprins de la Dânsul.
Ψλ17:10 καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.	*10. Şi a plecat cerurile şi S-a pogorât, şi negură sub picioarele Lui.*	**Ψλ17:10** Καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.	10. Şi a plecat cerurile şi S-a pogorât, şi negură sub picioarele Lui.
Ψλ17:11 καὶ ἐπέβη ἐπὶ χερουβιν καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.	*11. Şi S-a suit pe heruvimi şi a zburat, zburat-a peste aripile vânturilor.*	**Ψλ17:11** Καὶ ἐπέβη ἐπὶ **χερουβὶμ** καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.	11. Şi S-a suit pe heruvimi şi a zburat, zburat-a peste aripile vânturilor.
Ψλ17:12 καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.	*12. Şi Şi-a pus întunericul ascundere a Lui, împrejurul Lui cortul Lui, întunecoasă apă în norii văzduhurilor.*	**Ψλ17:12** Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.	12. Şi Şi-a pus întunericul ascundere a Lui, împrejurul Lui cortul Lui, apă întunecoasă în norii văzduhurilor.
Ψλ17:13 ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.	*13. De strălucire înaintea Lui norii au trecut, grindină şi cărbuni de foc.*	**Ψλ17:13** ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.	13. De strălucire înaintea Lui norii au trecut, grindină şi cărbuni de foc.
Ψλ17:14 καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ ὕψιστος ἔδωκεν φωνὴν αὐτοῦ·	*14. Şi a tunat Domnul din cer, şi Cel preaînalt a dat glasul Său;*	**Ψλ17:14** Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ ὕψιστος ἔδωκεν φωνὴν αὐτοῦ.	14. Şi a tunat Domnul din cer, şi Cel Preaînalt a dat glasul Său.
Ψλ17:15 **καὶ** ἐξαπέστειλεν βέλη καὶ ἐσκόρπισεν αὐτοὺς καὶ ἀστραπὰς ἐπλήθυνεν καὶ συνετάραξεν αὐτούς.	*15. şi a trimis săgeţi şi i-a risipit pe ei şi fulgere a înmulţit şi i-a tulburat pe ei.*	**Ψλ17:15** **ἐξαπέστειλε** βέλη καὶ ἐσκόρπισεν αὐτοὺς, καὶ ἀστραπὰς **ἐπλήθυνε** καὶ συνετάραξεν αὐτούς.	15. Trimis-a săgeţi şi i-a risipit pe ei, şi fulgere a înmulţit, şi i-a tulburat pe ei.
Ψλ17:16 καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.	*16. Şi s-au arătat izvoarele apelor, şi s-au descoperit temeliile lumii de certarea Ta, Doamne, de suflarea duhului mâniei Tale.*	**Ψλ17:16** Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης, ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.	16. Şi s-au arătat izvoarele apelor, şi s-au descoperit temeliile lumii, de certarea Ta, Doamne, de suflarea duhului mâniei Tale.
Ψλ17:17 ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέν με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν.	*17. Trimis-a din înălţime şi m-a luat; ridicatu-m-a din ape multe.*	**Ψλ17:17** ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέν με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν.	17. Trimis-a din înălţime şi m-a luat; ridicatu-m-a din ape multe.
Ψλ17:18 ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν	*18. Izbăvi-mă-va de vrăjmaşii mei cei tari şi*	**Ψλ17:18** ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν	18. Izbăvi-mă-va de vrăjmaşii mei cei tari şi

καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.	*de cei ce mă urăsc pe mine, că s-au întărit mai mult decât mine.*	καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.	de cei ce mă urăsc pe mine, că s-au întărit mai mult decât mine.
Ψλ17:19 προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου	*19. Întâmpinatu-m-au ei în ziua răutății mele, şi Domnul a fost întărirea mea*	**Ψλ17:19** Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου.	19. Întâmpinatu-m-au ei în ziua răutăţii mele; şi Domnul a fost întărirea mea.
Ψλ17:20 καὶ ἐξήγαγέν με εἰς πλατυσμόν, ῥύσεταί με, ὅτι ἠθέλησέν με.	*20. şi m-a scos întru lărgime, izbăvi-mă-va, că m-a voit.*	**Ψλ17:20** Καὶ **ἐξήγαγέ** με εἰς πλατυσμόν, ῥύσεταί με, ὅτι **ἠθέλησέ** με.	20. Şi m-a scos întru lărgime, izbăvi-mă-va, că m-a voit.
Ψλ17:21 καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι,	*21. Şi-mi va răsplăti mie Domnul, după dreptatea mea şi după curăţia mâinilor mele va răsplăti mie,*	**Ψλ17:21** Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.	21. Şi-mi va răsplăti mie Domnul după dreptatea mea, şi după curăţia mâinilor mele îmi va răsplăti mie.
Ψλ17:22 ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου,	*22. că am păzit căile Domnului, şi nu am fost necinstitor de Dumnezeul meu,*	**Ψλ17:22** ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου.	22. Că am păzit căile Domnului, şi nu am fost necinstitor de Dumnezeul meu.
Ψλ17:23 ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπ' ἐμοῦ.	*23. că toate judecăţile Lui înaintea mea, şi îndreptările Lui nu s-au depărtat de la mine.*	**Ψλ17:23** ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπ' ἐμοῦ.	23. Că toate judecăţile Lui înaintea mea, şi îndreptările Lui nu s-au depărtat de la mine.
Ψλ17:24 καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.	*24. Şi voi fără prihană cu Dânsul şi mă voi păzi de fărădelegea mea.*	**Ψλ17:24** Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.	24. Şi voi fi fără prihană cu Dânsul, şi mă voi păzi de fărădelegea mea.
Ψλ17:25 καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀ φθαλμῶν αὐτοῦ.	*25. Şi îmi va răsplăti mie Domnul după dreptatea mea şi după curăţia mâinilor mele înaintea ochilor Lui.*	**Ψλ17:25** Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώπιον τῶν ὀ φθαλμῶν αὐτοῦ.	25. Şi îmi va răsplăti mie Domnul după dreptatea mea, şi după curăţia mâinilor mele, înaintea ochilor Lui.
Ψλ17:26 μετὰ ὁσίου ὁσιωθήσῃ καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ, **Ψλ17:27** καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ καὶ μετὰ στρεβλοῦ διαστρέψεις.	*26. Cu cel cuvios, cuvios vei fi, şi cu omul nevinovat, nevinovat vei fi, 27. şi cu cel ales, ales vei fi; şi cu cel îndărătnic, te vei îndărătnici.*	**Ψλ17:26** μετὰ ὁσίου **ὅσιος ἔσῃ**, καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.	26. Cu cel cuvios, cuvios vei fi, şi cu omul nevinovat, nevinovat vei fi, şi cu cel ales, ales vei fi, şi cu cel îndărătnic, te vei îndărătnici.
Ψλ17:28 ὅτι σὺ λαὸν ταπεινὸν σώσεις καὶ ὀφθαλμοὺς ὑπερηφάνων	*28. Că Tu pe poporul cel smerit vei mântui, şi ochii mândrilor vei*	**Ψλ17:27** ὅτι σὺ λαὸν ταπεινὸν σώσεις καὶ ὀφθαλμοὺς ὑπερηφάνων	27. Că Tu pe poporul cel smerit îl vei mântui, şi ochii mândrilor vei

ταπεινώσεις.	*smeri.*	ταπεινώσεις.	smeri.
Ψλ17:29 ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε· ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.	*29. Că Tu vei lumina luminătorul meu, Doamne; Dumnezeul meu, lumina-vei întunericul meu.*	**Ψλ17:28** ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε· ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.	28. Că Tu vei lumina luminătorul meu, Doamne, Dumnezeul meu, lumina-vei întunericul meu.
Ψλ17:30 ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.	*30. Că întru Tine mă voi izbăvi de ispită, şi întru Dumnezeul meu voi trece zidul.*	**Ψλ17:29** ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.	29. Că întru Tine mă voi izbăvi de ispită, şi cu Dumnezeul meu voi trece zidul.
Ψλ17:31 ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια Κυρίου πεπυρωμένα, ὑπερασπιστής ἐστιν πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.	*31. Dumnezeul meu, fără prihană este calea Lui, cuvintele Domnului cu foc lămurite, ocrotitor este tuturor celor ce nădăjduiesc spre Dânsul.*	**Ψλ17:30** ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὰ λόγια Κυρίου πεπυρωμένα, ὑπερασπιστής **ἐστι** πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.	30. Dumnezeul meu, fără prihană este calea Lui, cuvintele Domnului cu foc lămurite, ocrotitor este tuturor celor ce nădăjduiesc spre Dânsul.
Ψλ17:32 ὅτι τίς Θεὸς πλὴν τοῦ Κυρίου; **καὶ** τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;	*32. Că cine este Dumnezeu afară de Domnul? Şi cine este Dumnezeu fără numai Dumnezeul nostru?*	**Ψλ17:31** ὅτι τίς Θεὸς **πάρεξ** τοῦ Κυρίου; **ἢ** τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;	31. Că cine este Dumnezeu afară de Domnul? Sau cine este Dumnezeu fără numai Dumnezeul nostru?
Ψλ17:33 ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου,	*33. Dumnezeu, Cel ce mă încinge cu putere, şi a pus fără prihană calea mea,*	**Ψλ17:32** ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.	32. Dumnezeu, Cel ce mă încinge cu putere, şi a pus fără prihană calea mea.
Ψλ17:34 ὁ καταρτιζόμενος τοὺς πόδας μου ὡς ἐλάφου καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με,	*34. Cel ce săvârşeşti picioarele mele ca ale cerbului, şi peste cele înalte mă pui,*	**Ψλ17:33** Καταρτιζόμενος τοὺς πόδας μου **ὡσεὶ** ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.	33. Cel ce face picioarele mele ca ale cerbului, şi peste cele înalte mă pune.
Ψλ17:35 διδάσκων χεῖράς μου εἰς πόλεμον καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου·	*35. Care înveţi mâinile mele la război, şi ai pus arc de aramă braţele mele;*	**Ψλ17:34** Διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου.	34. Care înveți mâinile mele la război, şi ai pus arc de aramă braţele mele.
Ψλ17:36 καὶ ἔδωκάς μοι ὑπερασπισμὸν[3] σωτηρίας μου, καὶ ἡ δεξιά σου ἀντελάβετό μου, καὶ ἡ παιδεία σου ἀνώρθωσέν με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει.	*36. şi mi-ai dat mie apărător mântuirea mea şi dreapta Ta m-a sprijinit, şi certarea Ta m-a îndreptat întru sfârşit, şi certarea Ta aceasta mă va învăţa.*	**Ψλ17:35** Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου, καὶ ἡ δεξιά σου ἀντελάβετό μου. **Ψλ17:36** καὶ ἡ παιδεία σου ἀνώρθωσέν με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει.	35. Şi mi-ai dat mie apărător mântuirea mea, şi dreapta Ta m-a sprijinit. 36. Şi certarea Ta m-a îndreptat întru sfârşit, şi certarea Ta aceasta mă va învăţa.
Ψλ17:37 ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησαν	*37. Lărgit-ai paşii mei sub mine, şi nu au slăbit urmele mele.*	**Ψλ17:37** ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἠσθένησαν	37. Lărgit-ai paşii mei sub mine, şi nu au slăbit urmele mele.

[3] Ὑπερασπισμὸς se traduce apărare cu scutul, ocrotire, patronare.

τὰ ἴχνη μου.		τὰ ἴχνη μου.	
Ψλ17:38 καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήμψομαι αὐτοὺς καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλίπωσιν·	*38. Urmări-voi (Goni-voi) pe vrăjmaşii mei şi-i voi prinde pe dânşii şi nu mă voi întoarce, până ce se vor sfârşi;*	**Ψλ17:38** Καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήμψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλίπωσιν.	38. Urmări-voi pe vrăjmaşii mei, şi-i voi prinde pe dânşii, şi nu mă voi întoarce până ce se vor sfârşi.
Ψλ17:39 ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου.	*39. necăji-voi pe dânşii, şi nu vor putea să stea, cădea-vor sub picioarele mele.*	**Ψλ17:39** ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου.	39. Necăji-voi pe dânşii, şi nu vor putea să stea, cădea-vor sub picioarele mele.
Ψλ17:40 καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανιστανομένους ἐπ' ἐμὲ ὑποκάτω μου.	*40. Şi m-ai încins cu putere spre război; împiedicat-ai pe toţi cei ce se sculau asupra mea, sub mine.*	**Ψλ17:40** Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανιστανομένους ἐπ' ἐμὲ ὑποκάτω μου.	40. Şi m-ai încins cu putere spre război; împiedicat-ai pe toţi cei ce s-au sculat asupra mea, sub mine.
Ψλ17:41 καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον καὶ τοὺς μισοῦντάς με ἐξωλέθρευσας.	*41. Şi mi-ai dat mie spatele vrăjmaşilor mei şi pe cei ce mă urăsc pe mine i-ai pierdut.*	**Ψλ17:41** Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον καὶ τοὺς μισοῦντάς με ἐξωλέθρευσας.	41. Şi spatele vrăjmaşilor mei l-ai făcut să se întoarcă înaintea mea, şi pe cei ce mă urăsc pe mine i-ai pierdut.
Ψλ17:42 ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων, πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.	*42. Strigat-au, şi nu era Cel ce mântuieşte, către Domnul, şi nu i-a auzit pe ei.*	**Ψλ17:42** ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων· πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.	42. Strigat-au, şi nu era Cel ce mântuieşte; către Domnul, şi nu i-a auzit pe ei.
Ψλ17:43 καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.	*43. Şi-i voi zdrumica pe ei ca praful în faţa vântului, ca tina uliţelor îi voi sfărâma pe dânşii.*	**Ψλ17:43** Καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.	43. Şi-i voi zdrumica pe ei ca praful în faţa vântului, ca tina uliţelor îi voi sfărâma pe dânşii.
Ψλ17:44 ῥύσῃ με ἐξ ἀντιλογιῶν λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέν μοι,	*44. Izbăvi-mă-vei de pricirea poporului; pune-Mă-vei cap neamurilor. Poporul pe care nu l-am cunoscu, Mi-a slujit Mie,*	**Ψλ17:44** ῥύσῃ με ἐξ ἀντιλογιῶν λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.	44. Izbăvi-mă-vei de pricirea poporului, pune-Mă-vei cap neamurilor.
Ψλ17:45 εἰς ἀκοὴν ὠτίου ὑπήκουσέν μοι· υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι,	*45. întru auzul urechii M-a ascultat; fiii străini au minţit Mie;*	**Ψλ17:45** Λαός, ὃν οὐκ ἔγνων, **ἐδούλευσέ** μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέν **μου**.	45. Poporul, pe care nu l-am cunoscut, Mi-a slujit Mie; întru auzul urechii M-a ascultat.
Ψλ17:46 υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.	*46. fiii străini s-au învechit şi au şchiopat din cărările lor.*	**Ψλ17:46** Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.	46. Fiii străini au minţit Mie; fiii străini s-au învechit şi au şchiopatat din cărările lor.
Ψλ17:47 ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου, καὶ ὑψωθήτω ὁ Θεὸς	*47. Viu este Domnul şi binecuvântat este Dumnezeul meu, şi să Se*	**Ψλ17:47** Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου, καὶ ὑψωθήτω ὁ Θεὸς	47. Viu este Domnul, binecuvântat este Dumnezeu meu, şi să Se

τῆς σωτηρίας μου,	*înalţe Dumnezeul mântuirii mele,*	τῆς σωτηρίας μου.	înalţe Dumnezeul mântuirii mele.
Ψλ17:48 ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ καὶ ὑποτάξας λαοὺς ὑπ’ ἐμέ,	*48. Dumnezeule, Cel ce-mi dai izbândire şi ai supus popoarele sub mine,*	**Ψλ17:48** ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ καὶ ὑποτάξας λαοὺς ὑπ’ ἐμέ, ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων.	48. Dumnezeule, Cel ce-mi dai izbândire şi ai supus popoarele sub mine, izbăvitorul meu de vrăjmaşii mei cei mânioşi.
Ψλ17:49 ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων, ἀπὸ τῶν ἐπανιστανομένων ἐπ’ ἐμὲ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.	*49. izbăvitorul meu de vrăjmaşii mei cei mânioşi, de la cei ce se scoală asupra mea mă vei înălţa, de omul nedrept mă vei izbăvi.*	**Ψλ17:49** ἀπὸ τῶν ἐπανιστανομένων ἐπ’ ἐμὲ ὑψώσεις με, ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.	49. De la cei ce se scoală asupra mea mă vei înălţa; de omul nedrept mă vei izbăvi.
Ψλ17:50 διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ,	*50. Pentru aceasta mă voi mărturisi Ţie întru neamuri, Doamne, şi numelui Tău voi cânta,*	**Ψλ17:50** Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ,	50. Pentru aceasta mă voi mărturisi Ţie întru neamuri, Doamne, şi numele Tău voi cânta.
Ψλ17:51 μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως **αὐτοῦ** καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ, τῷ Δαυῒδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.	*51. Cel ce măreşti mântuirile împăratului lui şi faci milă unsului lui, lui David şi seminţiei lui până în veac.*	**Ψλ17:51** Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ, τῷ Δαυῒδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.	51. Cel ce măreşti mântuirile împăratului, şi faci milă unsului lui, lui David, şi seminţiei lui până în veac.
		Δόξα...	Slavă…
ΨΑΛΜΟΣ ΙΗ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 18* *Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΙΗ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 18* *Întru sfârşit; psalm al lui David.*
Ψλ18:1 Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα·	*1.Cerurile spun (povestesc) slava lui Dumnezeu, şi (iar) facerea mâinilor Lui o vesteşte tăria;*	**Ψλ18:1** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.	1. Cerurile spun slava lui Dumnezeu, şi facerea mâinilor Lui o vesteşte tăria.
Ψλ18:2 ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.	*2. ziua zilei spune cuvânt, şi noaptea nopţii vesteşte ştiinţă.*	**Ψλ18:2** ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.	2. Ziua zilei spune cuvânt, şi noaptea nopţii vesteşte ştiinţă.
Ψλ18:3 οὐκ εἰσὶν λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν·	*3. Nu sunt graiuri, nici cuvinte, ale cărora să nu se audă glasurile lor;*	**Ψλ18:3** Οὐκ εἰσὶν λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.	3. Nu sunt graiuri, nici cuvinte, ale căror glasuri să nu se audă.
Ψλ18:4 εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ·	*4. în tot pământul a ieşit vestirea lor, şi la marginile lumii graiurile lor. În soare a pus locaşul Său;*	**Ψλ18:4** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.	4. În tot pământul a ieşit vestirea lor, şi la marginile lumii graiurile lor.
Ψλ18:5 καὶ αὐτὸς ὡς	*5. şi el ca un mire ce*	**Ψλ18:5** Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· καὶ αὐτὸς ὡς	5. În soare a pus locaşul Său; şi el ca un mire ce iese din cămara sa,

νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ.	*iese din cămara sa, bucura-se-va ca un uriaş să alerge calea lui.*	νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ.	bucura-se-va ca un uriaş să alerge calea lui.
Ψλ18:6 ἀπ’ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.	*6. Din marginea cerului ieşirea lui, şi întâmpinarea lui până la marginea cerului, şi nu este cine să se ascundă de căldura lui.*	**Ψλ18:6** Ἀπ’ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν **θέρμης** αὐτοῦ.	6. Din marginile cerului ieşirea lui, şi întâmpinarea lui până la marginea cerului, şi nu este cine să se ascundă de căldura lui.
Ψλ18:7 ὁ νόμος τοῦ Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια·	*7. Legea Domnului fără prihană, întoarce sufletele; mărturia Domnului credincioasă, înţelepţeşte pruncii;*	**Ψλ18:7** Ὁ νόμος τοῦ Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια.	7. Legea Domnului este fără prihană, întoarce sufletele; mărturia Domnului credincioasă, care înţelepţeşte pruncii.
Ψλ18:8 τὰ δικαιώματα Κυρίου εὐθεῖα, εὐφραίνοντα καρδίαν· ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς·	*8. dreptăţile Domnului drepte, veselesc inima; porunca Domnului strălucită, luminează ochii;*	**Ψλ18:8** Τὰ δικαιώματα Κυρίου εὐθεῖα, εὐφραίνοντα καρδίαν· ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.	8. Dreptăţile Domnului sunt drepte, veselesc inima; porunca Domnului e strălucită, luminează ochii.
Ψλ18:9 ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος· τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό,	*9. frica Domnului curată, rămâne în veacul veacului; judecăţile Domnului adevărate, îndreptate împreună,*	**Ψλ18:9** Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος· τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό.	9. Frica Domnului este curată, rămâne în veacul veacului; judecăţile Domnului adevărate, îndreptate împreună.
Ψλ18:10 ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.	*10. dorite sunt mai vârtos decât aurul şi decât piatra scumpă mult, şi mai dulci decât mierea şi fagurul.*	**Ψλ18:10** Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.	10. Dorite sunt mai vârtos decât aurul şi decât piatra scumpă de mult preţ, şi mai dulci decât mierea şi fagurul.
Ψλ18:11 καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά· ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.	*11. Şi că robul Tău păzeşte acestea; în păzirea acestora răsplătire este multă.*	**Ψλ18:11** Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά· ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.	11. Pentru (Şi) că robul Tău păzeşte acestea; şi când păzeşte acestea, (în păzirea acestora) răsplătire multă este.
Ψλ18:12 παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με.	*12. Greşealele cine le va pricepe? De cele ascunse ale mele curăţeşte-mă.*	**Ψλ18:12** Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.	12. Greşealele cine le va pricepe? De cele ascunse ale mele curăţeşte-mă, şi de cele străine scapă pe robul Tău.
Ψλ18:13 καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· ἐὰν μή μου κατακυριεύσωσιν, τότε ἄμωμος ἔσομαι καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.	*13. Şi de cele străine scapă pe robul Tău; de nu mă vor stăpâni, atunci fără prihană voi fi şi mă voi curăţa de păcat mare.*	**Ψλ18:13** Ἐὰν μή μου κατακυριεύσωσιν, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.	13. De nu mă vor stăpâni, atunci fără prihană voi fi, şi mă voi curăţa de păcat mare.

Ψλ18:14 καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός, Κύριε βοηθέ μου καὶ λυτρωτά μου.	*14. Şi vor fi întru bună-plăcere (voire) cuvintele gurii mele şi cugetul inimii mele, înaintea Ta, pururea, Doamne, ajutorul meu şi izbăvitorul meu.*	**Ψλ18:14** Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός, Κύριε, βοηθέ μου καὶ λυτρωτά μου.	14. Şi vor fi întru bună-plăcere cuvintele gurii mele, şi cugetul inimii mele înaintea Ta este pururea, Doamne, ajutorul meu şi izbăvitorul meu.
ΨΑΛΜΟΣ ΙΘ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 19* *Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΙΘ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 19* *Întru sfârşit; psalm al lui David.*
Ψλ19:1 Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.	*1. Auză-te Domnul în ziua necazului, scutească-te numele Dumnezeului lui Iacov.*	**Ψλ19:1** Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.	1. Auză-te Domnul în ziua necazului, scutească-te numele Dumnezeului lui Iacov.
Ψλ19:2 ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου καὶ ἐκ Σιων ἀντιλάβοιτό σου.	*2. Trimită ţie ajutor dintru cel sfânt şi din Sion sprijinească-te pe tine.*	**Ψλ19:2** Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιων ἀντιλάβοιτό σου.	2. Trimită ţie ajutor dintru cel sfânt, şi din Sion sprijinească-te pe tine.
Ψλ19:3 μνησθείη πάσης θυσίας σου καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.	*3. Pomenească toată jertfa ta, şi arderea de tot a ta să se îngraşe.*	**Ψλ19:3** Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.	3. Pomenească toată jertfa ta, şi arderea de tot a ta bine plăcută să-i fie.
Ψλ19:4 δῴη σοι κατὰ τὴν καρδίαν σου καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.	*4. Dea ţie Domnul după inima ta, şi tot sfatul tău să-l plinească.*	**Ψλ19:4** Δῴη σοι κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.	4. Dea ţie Domnul după inima ta, şi tot sfatul tău să-l plinească.
Ψλ19:5 ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου καὶ ἐν ὀνόματι Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου.	*5. Bucura-ne-vom de mântuirea Ta, şi întru numele Dumnezeului nostru ne vom mări. Plinească Domnul toate cererile tale.*	**Ψλ19:5** Ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου, καὶ ἐν ὀνόματι **Κυρίου** Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. **Ψλ19:6** Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου·	5. Bucura-ne-vom de mântuirea Ta, şi întru numele Domnului Dumnezeului nostru ne vom mări. 6. Plinească Domnul toate cererile tale;
Ψλ19:6 νῦν ἔγνων ὅτι ἔσωσεν Κύριος τὸν χριστὸν αὐτοῦ· ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ· ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.	*6. Acum am cunoscut că a mântuit Domnul pe unsul Său; auzi-l-va pe dânsul din cerul cel sfânt al Său; întru puteri este mântuirea dreptei Lui.*	νῦν ἔγνων, ὅτι ἔσωσεν Κύριος τὸν χριστὸν αὐτοῦ. **Ψλ19:7** Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ· ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.	acum am cunoscut că a mântuit Domnul pe unsul Său. 7. Auzi-l-va pe dânsul din cerul cel sfânt al Său, întru puteri este mântuirea dreptei Lui.
Ψλ19:7 οὗτοι ἐν ἅρμασιν καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν	*7. Aceştia în căruţe şi aceştia pe cai, iar noi în numele Domnului Dumnezeului nostru vom chema.*	**Ψλ19:8** Οὗτοι ἐν ἅρμασιν καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν	8. Aceştia în căruţe şi aceştia pe cai, iar noi în numele Domnului Dumnezeului nostru vom chema.

μεγαλυνθησόμεθα.		μεγαλυνθησόμεθα.	
Ψλ19:8 αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.	*8. Aceştia s-au împiedicat şi au căzut, iar noi ne-am sculat şi ne-am îndreptat.*	**Ψλ19:9** Αὐτοὶ συνεποδίσθησαν καὶ **ἔπεσον**, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.	9. Aceştia s-au împiedicat şi au căzut, iar noi ne-am sculat şi ne-am îndreptat.
Ψλ19:9 Κύριε, σῶσον τὸν βασιλέα **σου** καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.	*9. Doamne, mântuieşte pe împăratul Tău, şi ne auzi pe noi, în orice zi te vom chema.*	**Ψλ19:10** Κύριε, σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.	10. Doamne, mântuieşte pe împăratul, şi ne auzi pe noi, în orice zi te vom chema.
ΨΑΛΜΟΣ Κ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 20* *Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ Κ΄. Ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 20* *Psalm al lui David.*
Ψλ20:1 Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.	*1. Doamne, întru puterea Ta se va veseli împăratul, şi de mântuirea Ta se va bucura foarte.*	**Ψλ20:1** Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.	1. Doamne, întru puterea Ta se va veseli împăratul, şi de mântuirea Ta se va bucura foarte.
Ψλ20:2 τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.	*2. După pofta sufletului lui i-ai dat lui, şi de voia buzelor lui, nu l-ai lipsit pe dânsul.*	**Ψλ20:2** Τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.	2. După pofta inimii lui i-ai dat lui, şi de voia buzelor lui nu l-ai lipsit pe dânsul.
Ψλ20:3 ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.	*3. Că l-ai întâmpinat pe el cu binecuvântările bunătăţii, pus-ai pe capul lui cunună de piatră scumpă.*	**Ψλ20:3** Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.	3. Că l-ai întâmpinat pe el cu binecuvântările bunătăţii, pus-ai pe capul lui cunună de piatră scumpă.
Ψλ20:4 ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ, μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.	*4. Viaţă a cerut de la Tine, şi i-ai dat lui lungime de zile în veacul veacului.*	**Ψλ20:4** Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ, μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.	4. Viaţă a cerut de la Tine, şi i-ai dat lui lungime de zile în veacul veacului.
Ψλ20:5 μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν·	*5. Mare este slava lui întru mântuirea Ta, slavă şi mare cuviinţă vei pune peste el;*	**Ψλ20:5** Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν.	5. Mare este slava lui întru mântuirea Ta, slavă şi mare cuviinţă vei pune peste el.
Ψλ20:6 ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.	*6. că-i vei da lui binecuvântare în veacul veacului, veseli-l-vei pe dânsul întru bucurie cu faţa Ta.*	**Ψλ20:6** Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος, εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.	6. Că-i vei da lui binecuvântare în veacul veacului, veseli-vei pe dânsul întru bucurie cu faţa Ta.
Ψλ20:7 ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον καὶ	*7. Că împăratul nădăjduieşte spre*	**Ψλ20:7** Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον, καὶ	7. Că împăratul nădăjduieşte spre

ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.	*Domnul, şi întru mila Celui Preaînalt nu se va clătina.*	ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.	Domnul, şi întru mila Celui Preaînalt nu se va clătina.
Ψλ20:8 εὑρεθείη ἡ χείρ σου πᾶσιν τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.	*8. Aflã-se mâna Ta tuturor vrăjmaşilor Tăi, dreapta Ta să afle pe toţi cei ce Te urăsc pe Tine.*	**Ψλ20:8** Εὑρεθείη ἡ χείρ σου **πᾶσι** τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.	8. Aflã-se mâna Ta asupra tuturor vrăjmaşilor Tăi, dreapta Ta să afle pe toţi cei ce Te urăsc pe Tine.
Ψλ20:9 θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου· Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.	*9. Că-i vei pune pe ei ca un cuptor de foc în vremea feței Tale; Domnul întru mânia Sa îi va turbura pe ei, și-i va mânca pe ei focul.*	**Ψλ20:9** Θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. **Ψλ20:10** Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.	9. Că-i vei pune pe ei ca un cuptor de foc în vremea feței Tale. 10. Domnul întru mânia Sa îi va tulbura pe ei, şi-i va mânca pe ei focul.
Ψλ20:10 τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων,	*10. Rodul lor de pe pământ îl vei pierde, şi sămânţa lor dintre fiii oamenilor,*	**Ψλ20:11** Τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.	11. Rodul lor de pe pământ îl vei pierde, şi sămânţa lor dintre fiii oamenilor.
Ψλ20:11 ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο βουλήν, ἣν οὐ μὴ δύνωνται στῆσαι.	*11. Că au plecat asupra Ta rele, cugetat-au sfaturi, care nu vor putea să stea.*	**Ψλ20:12** Ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο **βουλάς, αἷς** οὐ μὴ δύνωνται **στῆναι**.	12. Că au gândit asupra Ta rele, cugetat-au sfaturi, care nu vor putea să stea.
Ψλ20:12 ὅτι θήσεις αὐτοὺς νῶτον· ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.	*12. Că-i vei pune pe dânșii spate (pe fugă); întru cei rămaşi ai Tăi vei găti fața lor.*	**Ψλ20:13** Ὅτι θήσεις αὐτοὺς νῶτον· ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.	13. Că-i vei pune pe dânşii spate, întru cei rămaşi ai Tăi vei găti faţa lor.
Ψλ20:13 ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.	*13. Înalţă-Te, Doamne, întru puterea Ta; cânta-vom şi vom lăuda puterile Tale.*	**Ψλ20:14** Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Δόξα...	14. Înalţă-Te, Doamne, întru puterea Ta; cânta-vom şi vom lăuda puterile Tale. Slavă…
ΨΑΛΜΟΣ ΚΑʹ. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήμψεως τῆς ἑωθινῆς· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 21* *Întru sfârşit, pentru sprijinirea cea de dimineaţă, psalm al lui David.*	ΨΑΛΜΟΣ ΚΑʹ. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήμψεως τῆς ἑωθινῆς· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 21* *Întru sfârşit, pentru sprijinirea cea de dimineaţă, psalm al lui David.*
Ψλ21:1 Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμά των μου.	*1. Dumnezeule, Dumnezeul Meu, ia aminte spre Mine, pentru ce M-ai lăsat? Departe de mântuirea Mea, cuvintele*	**Ψλ21:1** Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι· **ἱνατί** ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν **παραπτωμάτων** μου.	1. Dumnezeule, Dumnezeul Meu, ia aminte spre Mine; pentru ce M-ai lăsat? Departe de mântuirea Mea sunt cuvintele

	greşealelor Mele.		greşealelor mele.
Ψλ21:2 ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.	*2. Dumnezeul Meu, striga-voi ziua, şi nu vei auzi, şi noaptea, şi nu spre nepricepere Mie.*	Ψλ21:2 Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.	2. Dumnezeul meu, striga-voi ziua şi nu vei auzi; şi noaptea şi nu spre nepricepere Mie.
Ψλ21:3 σὺ δὲ ἐν ἁγίοις κατοικεῖς, ὁ ἔπαινος Ἰσραήλ.	*3. Iar Tu în Cel Sfânt locuieşti, lauda lui Israel.*	Ψλ21:3 Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος Ἰσραήλ· ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς.	3. Iar Tu în Cel Sfânt locuieşti, lauda lui Israel; spre Tine au nădăjduit părinţii noştri, au nădăjduit, şi i-ai izbăvit pe dânşii.
Ψλ21:4 ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς·	*4. Spre Tine au nădăjduit părinţii noştri, nădăjduit-au şi i-ai izbăvit pe dânşii;*		
Ψλ21:5 πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.	*5. către Tine au strigat şi s-au mântuit, spre Tine au nădăjduit şi nu s-au ruşinat.*	Ψλ21:4 Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.	4. Către Tine au strigat şi s-au mântuit, spre Tine au nădăjduit şi nu s-au ruşinat.
Ψλ21:6 ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπου καὶ ἐξουδένημα λαοῦ.	*6. Iar Eu sunt vierme şi nu om, ocara oamenilor şi defăimarea poporului.*	Ψλ21:5 Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπου καὶ ἐξουδένημα λαοῦ.	5. Iar eu sunt vierme şi nu om, ocara oamenilor şi defăimarea poporului.
Ψλ21:7 πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν·	*7. Toţi cei ce M-au văzut M-au batjocorit; grăit-au cu buzele, clătit-au cu capul;*	Ψλ21:6 Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν·	6. Toţi cei ce M-au văzut M-au batjocorit, grăit-au cu buzele, clătinat-au cu capul;
Ψλ21:8 Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.	*8. Nădăjduit-a spre Domnul, izbăvească-L pe El, mântuiască-L pe El, că-L voieşte pe El.*	Ψλ21:7 Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.	7. Nădăjduit-a spre Domnul, izbăvească-L pe El; mântuiască-L pe El, că-L voieşte pe El.
Ψλ21:9 ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου·	*9. Că Tu eşti Cel ce M-ai tras din pântece, nădejdea Mea de la sânii Maicii Mele;*	Ψλ21:8 Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου.	8. Că Tu eşti Cel ce M-ai tras din pântece, nădejdea Mea de la sânii Maicii Mele.
Ψλ21:10 ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ.	*10. spre Tine M-am aruncat din mitras, din pântecele Maicii Mele, Dumnezeul meu eşti Tu.*	Ψλ21:9 Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ.	9. Spre Tine M-am aruncat din mitras, din pântecele Maicii Mele Dumnezeul Meu eşti Tu.
Ψλ21:11 μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.	*11. Nu te depărta de la Mine, că necazul este aproape, că nu este cine să-Mi ajute.*	Ψλ21:10 Μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν **μοι**.	10. Nu te depărta de la Mine, că necazul este aproape, că nu este cine să-Mi ajute Mie.
Ψλ21:12 περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με·	*12. Înconjuratu-M-au viţei mulţi, tauri graşi M-au cuprins;*	Ψλ21:11 Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με.	11. Înconjuratu-M-au viţei mulţi, tauri graşi M-au cuprins.

Ψλ21:13 ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.	*13. Deschis-au asupra Mea gura lor, ca un leu ce răpeşte şi răcneşte.*	**Ψλ21:12** Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.	12. Deschis-au asupra Mea gura lor, ca un leu ce răpeşte şi răcneşte.
Ψλ21:14 ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου, ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου·	*14. Ca apa M-am vărsat, şi s-au risipit toate oasele Mele, făcutu-s-a inima Mea ca ceara ce se topeşte, în mijlocul pântecelui Meu;*	**Ψλ21:13** Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.	13. Ca apa M-am vărsat, şi s-au risipit toate oasele Mele.
		Ψλ21:14 Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.	14. Făcutu-s-a inima Mea ca ceara ce se topeşte în mijlocul pântecelui Meu.
Ψλ21:15 ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με.	*15. uscatu-s-a ca un vas de lut tăria Mea, şi limba Mea s-a lipit de grumazul Meu, şi în ţărâna morţii M-ai pogorât.*	**Ψλ21:15** Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με.	15. Uscatu-s-a ca un vas de lut tăria Mea, şi limba Mea s-a lipit de grumazul Meu, şi în ţărâna morţii M-ai pogorât.
Ψλ21:16 ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με, ὤρυξαν χεῖράς μου καὶ πόδας.	*16. Că M-au încunjurat câini mulţi; adunarea celor vicleni M-au cuprins, străpuns-au mâinile Mele şi picioarele.*	**Ψλ21:16** Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με.	16. Că m-au înconjurat câini mulţi, adunarea celor vicleni M-au cuprins.
Ψλ21:17 ἐξηρίθμησα πάντα τὰ ὀστᾶ μου, αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.	*17. Numărat-au oasele Mele, iar aceia priveau şi se uitau la Mine.*	**Ψλ21:17** Ὤρυξαν χεῖράς μου καὶ πόδας **μου· ἐξηρίθμησαν** πάντα τὰ ὀστᾶ μου, αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.	17. Străpuns-au mâinile Mele şi picioarele Mele; numărat-au toate oasele Mele, iar aceia priveau şi se uitau la Mine.
Ψλ21:18 διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.	*18. Împărţit-au hainele Mele loruşi, şi pentru cămaşa Mea au aruncat sorţi.*	**Ψλ21:18** Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.	18. Împărţit-au hainele Mele loruşi, şi pentru cămaşa Mea au aruncat sorţi.
Ψλ21:19 σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν **μου**, εἰς τὴν ἀντίλημψίν μου πρόσχες.	*19. Iar Tu, Doamne, nu depărta ajutorul Meu, spre sprijinirea Mea ia aminte.*	**Ψλ21:19** Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν **σου ἀπ' ἐμοῦ**, εἰς τὴν ἀντίλημψίν μου πρόσχες.	19. Iar Tu, Doamne, nu depărta ajutorul Tău de la Mine, spre sprijinirea Mea ia aminte.
Ψλ21:20 ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου·	*20. Izbăveşte de sabie sufletul Meu şi din mâna câinelui pe cea una născută a Mea;*	**Ψλ21:20** Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.	20. Izbăveşte de sabie sufletul Meu, şi din mâna câinelui pe cea una născută a Mea.
Ψλ21:21 σῶσόν με ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.	*21. Mântuieşte-Mă din gura leului, şi din coarnele inorogilor smerirea Mea.*	**Ψλ21:21** Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.	21. Mântuieşte-Mă din gura leului, şi din coarnele inorogilor smerirea Mea.
Ψλ21:22 διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ	*22. Spune-voi numele Tău fraţilor Mei; în mijlocul Bisericii Te voi*	**Ψλ21:22** Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ	22. Spune-voi numele Tău fraţilor Mei, în mijlocul Bisericii Te voi

ἐκκλησίας ὑμνήσω σε.	*lăuda.*	ἐκκλησίας ὑμνήσω σε.	lăuda.
Ψλ21:23 Οἱ φοβούμενοι Κύριον, αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακὼβ, δοξάσατε αὐτόν, φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ,	*23. Cei ce vă temeţi de Domnul, lăudaţi-L pe El, toată seminţia lui Iacov, slăviţi-L pe Dânsul, temeţi-vă de Dânsul toată seminţia lui Israel,*	**Ψλ21:23** Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακὼβ, δοξάσατε αὐτόν· **φοβηθήτω δὴ ἀπ' αὐτοῦ** ἅπαν τὸ σπέρμα Ἰσραήλ.	23. Cei ce vă temeţi de Domnul, lăudaţi-L pe El; toată seminţia lui Iacov, slăviţi-L pe El; temeţi-vă de Dânsul toată seminţia lui Israel.
Ψλ21:24 ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέν μου.	*24. că n-a lepădat, nici n-a defăimat ruga săracului, nici n-a întors faţa Sa de la Mine şi când am strigat către Dânsul M-a auzit.*	**Ψλ21:24** Ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν **εἰσήκουσέ** μου.	24. Căci n-a lepădat, nici n-a defăimat ruga săracului, nici a întors faţa Sa de la Mine, şi când am strigat către Dânsul M-a auzit.
Ψλ21:25 παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.	*25. De la Tine este lauda Mea în Biserica mare, rugăciunile Mele voi da înaintea celor ce se tem de Dânsul.*	**Ψλ21:25** Παρὰ σοῦ ὁ ἔπαινός μου· ἐν ἐκκλησίᾳ μεγάλῃ **ἐξομολογήσομαί σοι·** τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.	25. De la Tine este lauda Mea; în adunare mare Mă voi mărturisi Ţie; rugăciunile Mele le voi da înaintea celor ce se tem de Dânsul.
Ψλ21:26 φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσιν Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.	*26. Mânca-vor săracii şi se vor sătura, şi vor lăuda pe Domnul cei ce-L caută pe Dânsul; vii vor fi inimile lor în veacul veacului.*	**Ψλ21:26** Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσιν Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.	26. Mânca-vor săracii şi se vor sătura, şi vor lăuda pe Domnul cei ce-L caută pe Dânsul; vii vor fi inimile lor în veacul veacului.
Ψλ21:27 μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς καὶ προσκυνήσουσιν ἐνώπιόν σου πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν,	*27. Vor pomeni şi se vor întoarce la Domnul toate marginile pământului şi se vor închina înaintea Ta toate moştenirile neamurilor,*	**Ψλ21:27** Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς. **Ψλ21:28** Καὶ προσκυνήσουσιν **ἐνώπιον αὐτοῦ** πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν·	27. Vor pomeni şi se vor întoarce la Domnul toate marginile pământului. 28. Şi se vor închina înaintea Lui toate moştenirile neamurilor;
Ψλ21:28 ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.	*28. că a Domnului este împărăţia şi El stăpâneşte peste neamuri.*	ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.	că a Domnului este împărăţia, şi El stăpâneşte peste neamuri.
Ψλ21:29 ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς **τὴν** γῆν. καὶ ἡ ψυχή	*29. Mâncat-au şi s-au închinat toţi graşii pământului; înaintea Lui vor cădea toţi cei ce se coboară în pământ. Şi sufletul Meu Lui*	**Ψλ21:29** Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν.	29. Mâncat-au şi s-au închinat toţi graşii pământului, înaintea Lui vor cădea toţi cei ce se coboară în pământ.

μου αὐτῷ ζῇ, **Ψλ21:30** καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ· ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, **Ψλ21:31** καὶ ἀναγγελοῦσιν τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὅτι ἐποίησεν ὁ Κύριος.	*viază,* *30. şi seminţia Mea va sluji Lui; vesti-se-va Domnului neamul cel ce vine,* *31. şi vor vesti dreptatea Lui poporului ce se va naşte, că l-a făcut Domnul.*	**Ψλ21:30** Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ. **Ψλ21:31** Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ **ἀναγγελοῦσι** τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, **ὃν** ἐποίησεν ὁ Κύριος.	30. Şi sufletul meu, Lui viază, şi seminţia mea va sluji Lui. 31. Vesti-se-va Domnului neamul cel ce vine, şi vor vesti dreptatea Lui poporului ce se va naşte, pe care l-a făcut Domnul.
ΨΑΛΜΟΣ ΚΒ΄. Ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 22* *Psalm al lui David.*	ΨΑΛΜΟΣ ΚΒ΄. Ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 22* *Psalm al lui David.*
Ψλ22:1 Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. **Ψλ22:2** εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν, ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέν με, **Ψλ22:3** τὴν ψυχήν μου ἐπέστρεψεν. ὡδήγησέν με ἐπὶ τρίβους δικαιοσύνης ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.	*1. Domnul mă paşte (păstorește), şi nimic nu-mi va lipsi.* *2. La loc cu verdeaţă, acolo m-a sălăşluit; la apa odihnei m-au hrănit,* *3. sufletul meu l-a întors. Povăţuitu-m-a pe cărările dreptății, pentru numele Lui.*	**Ψλ22:1** Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν. **Ψλ22:2** Ἐπὶ ὕδατος ἀναπαύσεως **ἐξέθρεψέ** με, τὴν ψυχήν μου ἐπέστρεψεν. **Ψλ22:3** **Ὡδήγησέ** με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.	1. Domnul mă paşte (păstorește), şi nimic nu-mi va lipsi; la loc cu verdeaţă, acolo m-a sălăşluit. 2. La apa odihnei m-a hrănit, sufletul meu l-a întors. 3. Povăţuitu-m-a pe cărările dreptăţii, pentru numele Lui.
Ψλ22:4 ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ· ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν.	*4. Că de voi şi umbla în mijlocul umbrei morţii, nu mă voi teme de rele, că Tu cu mine eşti; toiagul Tău şi varga Ta, acestea m-au mângâiat.*	**Ψλ22:4** Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ. **Ψλ22:5** Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν.	4. Că de voi şi umbla în mijlocul umbrei morţii, nu mă voi teme de rele, căci Tu cu mine eşti. 5. Toiagul Tău şi varga Ta, acestea m-au mângâiat.
Ψλ22:5 Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡς κράτιστον.	*5. Gătit-ai înaintea mea masă, împotriva celor ce mă necăjesc; uns-ai cu untdelemn capul meu, şi paharul Tău este adăpându-mă ca un puternic.*	**Ψλ22:6** Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, **ἐξεναντίας τῶν θλιβόντων** με. **Ψλ22:7** Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον **με ὡσεὶ** κράτιστον.	6. Gătit-ai înaintea mea masă, împotriva celor ce mă necăjesc. 7. Uns-ai cu untdelemn capul meu, şi paharul Tău este adăpându-mă ca un puternic.
Ψλ22:6 καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς	*6. Şi mila Ta mă va urma în toate zilele vieţii mele; şi ca să*	**Ψλ22:8** Καὶ τὸ ἔλεός σου **καταδιώξει** με πάσας τὰς ἡμέρας τῆς	8. Şi mila Ta mă va urma în toate zilele vieţii mele.

ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.	*locuiesc eu în casa Domnului întru lungime de zile.*	ζωῆς μου. **Ψλ22:9** Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.	9. Şi ca să locuiesc în casa Domnului întru lungime de zile.
ΨΑΛΜΟΣ ΚΓ΄. Ψαλμὸς τῷ Δαυΐδ· τῆς μιᾶς σαββάτων.	*PSALMUL 23* *Psalm al lui David, al uneia din sâmbete.*	ΨΑΛΜΟΣ ΚΓ΄. Ψαλμὸς τῷ Δαυΐδ· τῆς μιᾶς Σαββάτων.	*PSALMUL 23* *Psalm al lui David, al uneia din sâmbete.*
Ψλ23:1 Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ·	*1. Al Domnului este pământul şi plinirea lui, lumea şi toţi cei ce locuiesc în ea;*	**Ψλ23:1** Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.	1. Al Domnului este pământul şi plinirea lui, lumea şi toţi cei ce locuiesc în ea.
Ψλ23:2 αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.	*2. Acesta pe mări l-a întemeiat pe el, şi pe râuri l-a gătit pe el.*	**Ψλ23:2** Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.	2. Acesta pe mări l-a întemeiat pe el, şi pe râuri l-a gătit pe el.
Ψλ23:3 τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;	*3. Cine se va sui în muntele Domnului şi cine va sta în locul cel sfânt al Lui?*	**Ψλ23:3** Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου**;** **ἢ** τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;	3. Cine se va sui în muntele Domnului? Sau cine va sta în locul cel sfânt al Lui?
Ψλ23:4 ἀθῷος χερσὶν καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.	*4. Cel nevinovat cu mâinile şi curat cu inima, care nu şi-a luat în deşert sufletul său, şi nu s-a jurat întru vicleşug aproapelui său.*	**Ψλ23:4** Ἀθῷος χερσὶν καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.	4. Cel nevinovat cu mâinile şi curat cu inima, care nu şi-a luat în deşert sufletul său, şi nu s-a jurat întru vicleşug aproapelui său.
Ψλ23:5 οὗτος λήμψεται εὐλογίαν παρὰ Κυρίου καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.	*5. Acesta va lua binecuvântare de la Domnul, şi milostenie de la Dumnezeu Mântuitorul său.*	**Ψλ23:5** Οὗτος λήμψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.	5. Acesta va lua binecuvântare de la Domnul, şi milostenie de la Dumnezeu, Mântuitorul său.
Ψλ23:6 αὕτη ἡ γενεὰ ζητούντων αὐτόν, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακὼβ.	*6. Acesta este neamul celor ce-L caută pe El, a celor ce caută faţa Dumnezeului lui Iacov.*	**Ψλ23:6** Αὕτη ἡ γενεὰ ζητούντων **τὸν Κύριον**, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακὼβ.	6. Acesta este neamul celor ce-L caută pe Domnul, al celor ce caută faţa Dumnezeului lui Iacov.
Ψλ23:7 ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.	*7. Ridicaţi căpetenii porţile voastre, şi vă ridicaţi porţile cele veşnice şi va intra Împăratul slavei.*	**Ψλ23:7** Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.	7. Ridicaţi căpetenii porţile voastre, şi vă ridicaţi porţile cele veşnice, şi va intra Împăratul slavei.
Ψλ23:8 τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος	*8. Cine este acesta Împăratul slavei? Domnul Cel tare şi puternic, Domnul Cel*	**Ψλ23:8** Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος	8. Cine este acesta Împăratul slavei? Domnul Cel tare şi puternic, Domnul Cel

δυνατὸς ἐν πολέμῳ. **Ψλ23:9** ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.	*puternic în războaie.* *9. Ridicaţi căpetenii porţile voastre, şi vă ridicaţi porţile cele veşnice şi va intra Împăratul Slavei.*	δυνατὸς ἐν πολέμῳ. **Ψλ23:9** Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.	puternic în războaie. 9. Ridicaţi căpetenii porţile voastre, şi vă ridicaţi porţile cele veşnice, şi va intra Împăratul slavei.
Ψλ23:10 τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.	*10. Cine este acesta Împăratul Slavei? Domnul puterilor, Acesta este Împăratul slavei.*	**Ψλ23:10** Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. Δόξα...	10. Cine este acesta Împăratul slavei? Domnul puterilor, Acesta este Împăratul slavei. Slavă…
ΨΑΛΜΟΣ ΚΔ΄. Ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 24* *Psalm al lui David.*	ΚΑΘΙΣΜΑ ΤΕΤΑΡΤΟΝ ΨΑΛΜΟΣ ΚΔ΄. Ψαλμὸς τῷ Δαυΐδ.	Catisma a patra *PSALMUL 24* *Psalm al lui David.*
Ψλ24:1 Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου. **Ψλ24:2** ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην, μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου.	*1. Către Tine, Doamne, am ridicat sufletul meu, Dumnezeul meu.* *2. spre Tine am nădăjduit (Ţie îţi sunt încredinţat), să nu mă ruşinez, nici să râdă de mine vrăjmaşii mei.*	**Ψλ24:1** Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην **εἰς τὸν αἰῶα.** **Ψλ24:2** Μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες **διὰκενῆς**.	1. Către Tine, Doamne am ridicat sufletul meu; Dumnezeul meu, spre Tine am nădăjduit, să nu mă ruşinezi în veac. 2. Nici să râdă de mine vrăjmaşii mei, pentru (şi) că toţi cei ce te rabdă pe Tine nu se vor ruşina; să se ruşineze cei ce fac fărădelege în deşert.
Ψλ24:3 καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν **πάντες** οἱ ἀνομοῦντες διὰ κενῆς.	*3. Pentru (Şi) că toţi cei ce te aşteaptă (rabdă) pe Tine, nu se vor ruşina; să se ruşineze toţi cei ce fac fărădelege în deşert.*		
Ψλ24:4 τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με.	*4. Căile Tale, Doamne, arată-mi, şi cărările Tale mă învaţă.*	**Ψλ24:3** Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με.	3. Căile Tale, Doamne, arată-mi, şi cărările Tale mă învaţă.
Ψλ24:5 ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.	*5. Îndepărtează-mă spre adevărul Tău şi mă învaţă, că Tu eşti Dumnezeu, Mântuitorul meu, şi pe Tine Te-am aşteptat toată ziua.*	**Ψλ24:4** Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.	4. Îndreptează-mă spre adevărul Tău şi mă învaţă, că Tu eşti Dumnezeu, Mântuitorul meu, şi pe Tine Te-am aşteptat toată ziua.
Ψλ24:6 μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.	*6. Adu-Ţi aminte de îndurările Tale, Doamne, şi de milele Tale, că din veac sunt.*	**Ψλ24:5** Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.	5. Adu-Ţi aminte de îndurările Tale, Doamne, şi de milele Tale, că din veac sunt.
Ψλ24:7 ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός	*7. Păcatele tinereţilor mele şi ale neştiinţei mele nu le pomeni; după mila Ta pomeneşte-mă*	**Ψλ24:6** Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός	6. Păcatele tinereţii şi ale neştiinţei mele, nu le pomeni; după mila Ta, pomeneşte-mă Tu,

σου μνήσθητί μου σὺ ἕνεκα τῆς χρηστότητός σου, Κύριε.	*Tu, pentru bunătatea ta, Doamne.*	σου μνήσθητί μου σὺ, ἕνεκα τῆς χρηστότητός σου, Κύριε.	pentru bunătatea Ta, Doamne.
Ψλ24:8 χρηστὸς καὶ εὐθὴς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.	*8. Bun şi drept este Domnul; pentru aceasta va pune lege celor ce păcătuiesc în cale.*	**Ψλ24:7** Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.	7. Bun şi drept este Domnul; pentru aceasta, lege va pune celor ce păcătuiesc în cale.
Ψλ24:9 ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.	*9. Îndrepta-va pe cei blânzi la (în) judecată, învăţa-va pe cei blânzi căile Sale.*	**Ψλ24:8** Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.	8. Îndrepta-va pe cei blânzi la judecată, învăţa-va pe cei blânzi căile Sale.
Ψλ24:10 πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσιν τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.	*10. Toate căile Domnului, milă şi adevăr, celor ce caută aşezământul Lui şi mărturiile Lui.*	**Ψλ24:9** Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσιν τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.	9. Toate căile Domnului sunt milă şi adevăr celor ce caută aşezământul Lui şi mărturiile Lui.
Ψλ24:11 ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν.	*11. Pentru numele Tău, Doamne, şi curăţeşte păcatul meu, că mult este.*	**Ψλ24:10** Ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ **ἐστι**.	10. Pentru numele Tău, Doamne, şi curăţeşte păcatul meu, că mult este.
Ψλ24:12 τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.	*12. Cine este omul cel ce se teme de Domnul? Lege va pune lui în calea care a ales-o.*	**Ψλ24:11** Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.	11. Cine este omul, cel ce se teme de Domnul? Lege va pune lui în calea pe care a ales-o.
Ψλ24:13 ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.	*13. Sufletul lui întru bunătăţi se va sălăşlui, şi sămânţa lui va moşteni pământul.*	**Ψλ24:12** Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.	12. Sufletul lui întru bunătăţi se va sălăşlui, şi sămânţa lui va moşteni pământul.
Ψλ24:14 κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς.	*14. Întărire este Domnul celor ce se tem de Dânsul, şi testamentul Lui va arăta lor.*	**Ψλ24:13** Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς.	13. Întărire este Domnul celor ce se tem de Dânsul, şi aşezământul Lui va arăta lor.
Ψλ24:15 οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.	*15. Ochii mei pururea spre Domnul, că El va scoate din laţ picioarele mele.*	**Ψλ24:14** Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.	14. Ochii mei pururea spre Domnul, că El va scoate din cursă picioarele mele.
Ψλ24:16 ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.	*16. Caută spre mine şi mă miluieşte, că unul născut şi sărac sunt eu.*	**Ψλ24:15** Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.	15. Caută spre mine şi mă miluieşte, că unul născut şi sărac sunt eu.
Ψλ24:17 αἱ θλίψεις τῆς καρδίας μου ἐπλατύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.	*17. Necazurile inimii mele s-au înmulţit; din nevoile mele scoate-mă.*	**Ψλ24:16** Αἱ θλίψεις τῆς καρδίας μου ἐπλατύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.	16. Necazurile inimii mele s-au înmulţit; din nevoile mele, scoate-mă.
Ψλ24:18 ἰδὲ τὴν	*18. Vezi smerenia mea*	**Ψλ24:17** Ἰδὲ τὴν	17. Vezi smerenia mea

ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.	*şi osteneala mea, şi lasă toate păcatele mele.*	ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.	şi osteneala mea, şi lasă toate păcatele mele.
Ψλ24:19 ἰδὲ τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν καὶ μῖσος ἄδικον ἐμίσησάν με.	*19. Vezi pe vrăjmaşii mei, că s-au înmulţit şi cu urâciune nedreaptă m-au urât.*	**Ψλ24:18** Ἰδὲ τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.	18. Vezi pe vrăjmaşii mei că s-au înmulţit şi cu urâciune nedreaptă m-au urât.
Ψλ24:20 φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.	*20. Păzeşte sufletul meu şi mă izbăveşte, să nu mă ruşinez, că am nădăjduit spre Tine.*	**Ψλ24:19** Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.	19. Păzeşte sufletul meu şi mă izbăveşte, să nu mă ruşinez, că am nădăjduit spre Tine.
Ψλ24:21 ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.	*21. Cei fără răutate şi cei drepţi s-au lipit de mine, că Te-am aşteptat, Doamne.*	**Ψλ24:20** Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.	20. Cei fără răutate şi cei drepţi s-au lipit de mine, că Te-am aşteptat, Doamne.
Ψλ24:22 λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.	*22. Izbăveşte, Dumnezeule, pe Israel din toate necazurile lui.*	**Ψλ24:21** Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.	21. Izbăveşte, Dumnezeule, pe Israel din toate necazurile lui.
ΨΑΛΜΟΣ ΚΕ΄. Τοῦ Δαυΐδ.	*PSALMUL 25* *A lui David.*	ΨΑΛΜΟΣ ΚΕ΄. Τῷ Δαυΐδ.	*PSALMUL 25* *A lui David.*
Ψλ25:1 Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω.	*1. Judecă-mă, Doamne, că eu întru nerăutatea mea am umblat, şi spre Domnul nădăjduind, nu voi slăbi.*	**Ψλ25:1** Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην· καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω.	1. Judecă-mă, Doamne, că eu întru nerăutatea mea am umblat, şi spre Domnul nădăjduind, nu voi slăbi.
Ψλ25:2 δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.	*2. Ispiteşte-mă, Doamne, şi mă cearcă, aprinde rărunchii mei şi inima mea.*	**Ψλ25:2** Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.	2. Ispiteşte-mă, Doamne, şi mă cearcă; aprinde rărunchii mei şi inima mea.
Ψλ25:3 ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστιν, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.	*3. Că mila Ta înaintea ochilor mei este, şi bine am bineplăcut întru adevărul Tău.*	**Ψλ25:3** Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού **ἐστι**, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.	3.Că mila Ta, înaintea ochilor mei este; şi am bineplăcut întru adevărul Tău.
Ψλ25:4 οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω·	*4. Nu am şezut cu adunarea deşertăciunii, şi cu călcătorii de lege nu voi intra;*	**Ψλ25:4** Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.	4. Nu am şezut cu adunarea deşertăciunii, şi cu călcătorii de lege nu voi intra.
Ψλ25:5 ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ μετὰ ἀσεβῶν οὐ μὴ	*5. urât-am adunarea celor ce viclenesc şi cu necinstitorii nu voi şedea.*	**Ψλ25:5** Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ	5. Urât-am adunarea celor ce viclenesc, şi cu cei necinstitori nu voi şedea.

καθίσω.		καθίσω.	
Ψλ25:6 νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε,	*6. Spăla-voi întru cei nevinovaţi mâinile mele, şi voi înconjura jertfelnicul Tău, Doamne,*	**Ψλ25:6** Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε,	6. Spăla-voi întru cei nevinovaţi mâinile mele şi voi înconjura jertfelnicul Tău, Doamne,
Ψλ25:7 τοῦ ἀκοῦσαι φωνὴν αἰνέσεως καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.	*7. ca să aud glasul laudei şi să povestesc toate minunile Tale.*	**Ψλ25:7** τοῦ ἀκοῦσαι φωνὴν **αἰνέσεώς σου**, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.	7. ca să aud glasul laudei Tale şi să povestesc toate minunile Tale.
Ψλ25:8 Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου.	*8. Doamne, iubit-am bunăcuviinţa casei Tale şi locul lăcaşului slavei Tale.*	**Ψλ25:8** Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.	8. Iubit-am, Doamne, bunăcuviinţa casei Tale, şi locul lăcaşului slavei Tale.
Ψλ25:9 μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου,	*9. Să nu pierzi cu necinstitorii sufletul meu, şi cu bărbaţii sângiurilor viaţa mea,*	**Ψλ25:9** Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου,	9. Să nu pierzi cu cei necinstitori sufletul meu, şi cu bărbaţii vărsători de sânge viaţa mea,
Ψλ25:10 ὧν ἐν χερσὶν ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.	*10. întru ale căror mâini sunt fărădelegile, dreapta lor s-a umplut de daruri.*	**Ψλ25:10** ὧν ἐν χερσὶν ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.	10. în mâinile cărora sunt fărădelegile, dreapta lor s-a umplut de daruri.
Ψλ25:11 ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με καὶ ἐλέησόν με.	*11. Iar eu întru nerăutatea mea am umblat; izbăveşte-mă, şi mă miluieşte.*	**Ψλ25:11** Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, **Κύριε**, καὶ ἐλέησόν με.	11. Iar eu întru nerăutatea mea am umblat; izbăveşte-mă, Doamne, şi mă miluieşte.
Ψλ25:12 ὁ **γὰρ** πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.	*12. Că piciorul meu a stătut întru îndreptare; întru biserici bine Te voi cuvânta, Doamne.*	**Ψλ25:12** Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.	12. Piciorul meu a stătut întru îndreptare; întru biserici Te voi binecuvânta, Doamne.
ΨΑΛΜΟΣ ΚΣΤ΄. Τοῦ Δαυΐδ· πρὸ τοῦ χρισθῆναι.	*PSALMUL 26 Psalm al lui David, mai înainte de a fi uns.*	ΨΑΛΜΟΣ ΚΣΤ΄. Τῷ Δαυΐδ, πρὸ τοῦ χρισθῆναι.	*PSALMUL 26 Psalm al lui David, mai înainte de a fi uns.*
Ψλ26:1 Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;	*1. Domnul este luminarea mea şi Mântuitorul meu, de cine mă voi teme? Domnul este scutitorul (apărătorul) vieţii mele, de cine mă voi înfricoşa?*	**Ψλ26:1** Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; **Ψλ26:2** Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;	1. Domnul este luminarea mea şi Mântuitorul meu, de cine mă voi teme? 2. Domnul este apărătorul vieţii mele, de cine mă voi înfricoşa?
Ψλ26:2 ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ	*2. Când se apropiau de mine cei ce-mi fac rău, ca să mănânce cărnurile mele, cei ce mă necăjesc şi vrăjmaşii mei, aceia*	**Ψλ26:3** Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ	3. Când se vor apropia de mine cei ce-mi fac rău, ca să mănânce cărnurile mele, cei ce mă necăjesc şi vrăjmaşii

ἠσθένησαν καὶ ἔπεσαν·	*au slăbit şi au căzut.*	ἠσθένησαν καὶ **ἔπεσον**.	mei, aceia au slăbit şi au căzut.
Ψλ26:3 ἐὰν παρατάξηται ἐπ’ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ’ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.	*3. De s-ar rândui împotriva mea tabără, nu se va înfricoşa inima mea; de s-ar scula asupra mea război, întru aceasta eu nădăjduiesc.*	**Ψλ26:4** Ἐὰν παρατάξηται ἐπ’ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ’ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.	4. De s-ar rândui împotriva mea oştire, nu se va înfricoşa inima mea; de s-ar ridica asupra mea război, întru aceasta eu nădăjduiesc.
Ψλ26:4 μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα **τοῦ** Κυρίου καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.	*4. Una am cerut de la Domnul, aceasta voi căuta: ca să locuiesc în casa Domnului în toate zilele vieţii mele, ca să văd frumuseţea Domnului şi să cercetez Biserica Lui.*	**Ψλ26:5** Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, **Ψλ26:6.** τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ.	5. Una am cerut de la Domnul, aceasta o voi căuta: ca să locuiesc în casa Domnului în toate zilele vieţii mele, 6. Ca să văd frumuseţea Domnului şi să cercetez Biserica cea sfântă a Lui.
Ψλ26:5 ὅτι ἔκρυψέν με ἐν σκηνῇ ἐν ἡμέρᾳ κακῶν μου· ἐσκέπασέν με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέν με·	*5. Că m-a ascuns în cortul Său, în ziua răutăţilor mele; acoperitu-m-a întru ascunsul cortului Său, pe piatră m-a înălţat;*	**Ψλ26:7** Ὅτι ἔκρυψέν με ἐν σκηνῇ ἐν ἡμέρᾳ κακῶν μου· ἐσκέπασέν με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ **ὕψωσέ** με.	7. Că m-a ascuns în cortul Său, în ziua răutăților mele; acoperitu-m-a întru ascunsul cortului Său, pe piatră m-a înălţat.
Ψλ26:6 καὶ νῦν ἰδοὺ ὕψωσεν τὴν κεφαλήν μου ἐπ’ ἐχθρούς μου· ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ, ᾄσομαι καὶ ψαλῶ τῷ Κυρίῳ.	*6. şi acum, iată, a înălţat capul meu peste vrăjmaşii mei; înconjurat-am şi am jertfit în cortul Lui jertfă de laudă şi de strigare, glăsui-voi şi voi cânta Domnului.*	**Ψλ26:8** Καὶ νῦν ἰδοὺ **ὕψωσε** τὴν κεφαλήν μου ἐπ’ ἐχθρούς μου. **Ψλ26:9** Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν **αἰνέσεως καὶ** ἀλαλαγμοῦ, **ᾄσω** καὶ ψαλῶ τῷ Κυρίῳ.	8. Şi acum, iată, a înălţat capul meu peste vrăjmaşii mei. 9. Înconjurat-am şi am jertfit în cortul Lui, jertfă de laudă şi de strigare; glăsui-voi şi voi cânta Domnului.
Ψλ26:7 εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα· ἐλέησόν με καὶ εἰσάκουσόν μου.	*7. Auzi, Doamne, glasul meu, cu care am strigat; miluieşte-mă şi mă ascultă.*	**Ψλ26:10** Εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα· ἐλέησόν με καὶ εἰσάκουσόν μου.	10. Auzi, Doamne, glasul meu, cu care am strigat; miluieşte-mă şi mă ascultă.
Ψλ26:8 σοὶ εἶπεν ἡ καρδία μου· Ἐζήτησεν τὸ πρόσωπόν μου· τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.	*8. Ţie a zis inima mea: Te-a căutat faţa mea; faţa Ta, Doamne, voi căuta.*	**Ψλ26:11** Σοὶ εἶπεν ἡ καρδία μου· **Κύριον ζητήσω·** Ἐζήτησέ τὸ πρόσωπόν μου· τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.	11. Ţie a zis inima mea: pe Domnul voi căuta; căutat-a spre Tine faţa mea; faţa Ta, Doamne, voi căuta.
Ψλ26:9 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ, μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με καὶ μὴ ἐγκαταλίπῃς με,	*9. Să nu întorci faţa Ta de la mine, să nu te abaţi întru mânie de la robul Tău; ajutorul meu fii, să nu mă lepezi pe mine şi să nu mă laşi, Dumnezeule,*	**Ψλ26:12** Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ, μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. **Ψλ26:13** Βοηθός μου	12. Să nu întorci faţa Ta de la mine, şi să nu Te abaţi întru mânie de la robul Tău. 13. Ajutorul meu fii, să

ὁ Θεὸς ὁ σωτήρ μου.	*Mântuitorul meu.*	γενοῦ, μὴ ἀποσκορακίσῃς με καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ σωτήρ μου.	nu mă lepezi pe mine şi să nu mă laşi, Dumnezeule, Mântuitorul meu.
Ψλ26:10 ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με.	*10. Că tatăl meu şi maica mea m-au părăsit pe mine, iar Domnul m-a luat.*	**Ψλ26:14** Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με.	14. Că tatăl meu şi maica mea m-au părăsit, iar Domnul m-a luat la Sine.
Ψλ26:11 νομοθέτησόν με, Κύριε, τῇ ὁδῷ σου καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.	*11. Lege pune-mi mie, Doamne, (în) calea Ta, şi mă îndreptează în cărarea dreaptă din pricina vrăjmaşilor mei.*	**Ψλ26:15** Νομοθέτησόν με, Κύριε, τῇ ὁδῷ σου καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ, ἕνεκα τῶν ἐχθρῶν μου.	15. Lege pune-mi mie, Doamne, în calea Ta, şi mă îndreptează în cărarea dreaptă din pricina vrăjmaşilor mei.
Ψλ26:12 μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.	*12. Nu mă da pe mine sufletelor celor ce mă necăjesc, că s-au sculat asupra mea mărturii nedrepte, şi a minţit nedreptatea eişi.*	**Ψλ26:16** Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.	16. Nu mă da pe mine sufletelor celor ce mă necăjesc, că s-au sculat asupra mea mărturii nedrepte, şi strâmbătatea a minţit eişi.
Ψλ26:13 πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.	*13. Cred că voi vedea bunătăţile Domnului în pământul celor vii.*	**Ψλ26:17** Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.	17. Cred că voi vedea bunătăţile Domnului în pământul celor vii.
Ψλ26:14 ὑπόμεινον τὸν Κύριον· ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.	*14. Aşteaptă pe Domnul, îmbărbătează-te, şi să se întărească inima ta, şi aşteaptă pe Domnul.*	**Ψλ26:18** Ὑπόμεινον τὸν Κύριον· ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. Δόξα...	18. Aşteaptă pe Domnul, îmbărbătează-te, şi să se întărească inima ta, şi aşteaptă pe Domnul. Slavă…
ΨΑΛΜΟΣ ΚΖ΄. Τοῦ Δαυΐδ.	*PSALMUL 27 Psalm al lui David.*	ΨΑΛΜΟΣ ΚΖ΄. Τῷ Δαυΐδ.	*PSALMUL 27 Psalm al lui David.*
Ψλ27:1 Πρὸς σέ, Κύριε, ἐκέκραξα, ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.	*1. Către Tine, Doamne, voi striga, Dumnezeul meu, să nu taci de către mine, ca nu cândva să taci de către mine, şi mă voi asemăna celor ce se coboară în groapă.*	**Ψλ27:1** Πρὸς σέ, Κύριε, ἐκέκραξα, ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ· μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.	1. Către Tine, Doamne voi striga: Dumnezeul meu, să nu taci de către mine; ca nu cândva să taci de către mine, şi mă voi asemăna celor ce se coboară în groapă.
Ψλ27:2 εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἐν τῷ με αἴρειν χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.	*2. Auzi glasul rugăciunii mele, când mă rog către Tine, când ridic mâinile mele către Biserica cea sfântă a Ta.*	**Ψλ27:2** Εἰσάκουσον, **Κύριε**, τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ, ἐν τῷ με αἴρειν χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.	2. Auzi, Doamne, glasul rugăciunii mele, când mă rog către Tine, când ridic mâinile mele către Biserica Ta cea sfântă.
Ψλ27:3 μὴ συνελκύσῃς μετὰ ἁμαρτωλῶν **τὴν ψυχήν μου** καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ	*3. Să nu tragi cu cei păcătoşi sufletul meu, şi cu cei ce lucrează nedreptatea să nu mă*	**Ψλ27:3** Μὴ συνελκύσῃς **με** μετὰ ἁμαρτωλῶν καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ	3. Să nu mă tragi pe mine cu cei păcătoşi, şi cu cei ce lucrează fărădelegea să nu mă

συναπολέσῃς με τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.	*pierzi, cu cei ce grăiesc pace cu aproapele lor, iar rele în inimile lor.*	συναπολέσῃς με, **Ψλ27:4** Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.	pierzi, 4. Cu cei ce grăiesc pace cu cei aproape ai lor, iar rele în inimile lor.
Ψλ27:4 δὸς αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν· κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.	*4. Dă-le lor după lucrurile lor şi după vicleşugul meşteşugirilor lor; după lucrurile mâinilor lor dă-le lor, răsplăteşte-le lor răsplătirea lor.*	**Ψλ27:5** Δὸς αὐτοῖς, **Κύριε**, κατὰ τὰ ἔργα αὐτῶν καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. **Ψλ27:6** Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς, ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.	5. Dă-le lor, Doamne, după faptele lor, şi după vicleşugul meşteşugirilor lor. 6. După faptele mâinilor lor, dă-le lor, răsplăteşte-le lor răsplătirea lor.
Ψλ27:5 ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.	*5. Că nu au înţeles lucrurile Domnului şi lucrurile mâinilor lui; surpa-vei pe dânşii şi nu-i vei zidi.*	**Ψλ27:7** Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· καθελεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.	7. Că nu au înţeles lucrurile Domnului şi lucrurile mâinilor Lui; surpa-vei pe dânşii şi nu-i vei zidi.
Ψλ27:6 εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσεν τῆς φωνῆς τῆς δεήσεώς μου.	*6. Bine este cuvântat Domnul, că a auzit glasul rugăciunii mele.*	**Ψλ27:8** Εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσεν τῆς φωνῆς τῆς δεήσεώς μου.	8. Bine este cuvântat Domnul, că a ascultat glasul rugăciunii mele.
Ψλ27:7 Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου· ἐπ’ αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου· καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.	*7. Domnul este ajutorul meu şi sprijinitorul (apărătorul) meu; spre Dânsul a nădăjduit inima mea şi m-a ajutat, şi a înflorit trupul meu; şi din voia mea mă voi mărturisi Lui.*	**Ψλ27:9** Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου· ἐπ’ αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην. **Ψλ27:10** Καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.	9. Domnul este ajutorul meu şi sprijinitorul meu; spre Dânsul a nădăjduit inima mea şi m-a ajutat. 10. Şi a înflorit trupul meu, şi din voia mea mă voi mărturisi Lui.
Ψλ27:8 Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστιν.	*8. Domnul este întărirea poporului Său, şi apărătorul mântuirilor unsului Său este.*	**Ψλ27:11** Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ **ἐστι**.	11. Domnul este întărirea poporului Său, şi sprijinitorul mântuirilor unsului Său este.
Ψλ27:9 σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.	*9. Mântuieşte pe poporul Tău, şi binecuvântează moştenirea Ta, şi păstoreşte-i pe ei, şi-i ridică pe ei până în veac.*	**Ψλ27:12** Σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.	12. Mântuieşte poporul Tău şi binecuvântează moştenirea Ta, şi păstoreşte-i pe ei, şi-i ridică pe ei până în veac.

ΨΑΛΜΟΣ ΚΗ΄. Ψαλμὸς τῷ Δαυΐδ· ἐξοδίου σκηνῆς.	*PSALMUL 28* *Psalm al lui David; la scoaterea cortului.*	ΨΑΛΜΟΣ ΚΗ΄. Ψαλμὸς τῷ Δαυΐδ, ἐξοδίου σκηνῆς.	*PSALMUL 28* *Psalm al lui David, la scoaterea cortului.*
Ψλ28:1 Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν, **Ψλ28:2** ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.	*1. Aduceţi Domnului fiii lui Dumnezeu, aduceţi Domnului pe fiii berbecilor, aduceţi Domnului slavă şi cinste,* *2. aduceţi Domnului slavă numelui Lui; închinaţi-vă Domnului în curtea cea sfântă a Lui.*	**Ψλ28:1** Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν. **Ψλ28:2** Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.	1. Aduceţi Domnului fiii lui Dumnezeu; aduceţi Domnului pe fiii berbecilor. 2. Aduceţi Domnului slavă şi cinste; aduceţi slavă numelui Lui, închinaţi-vă în curtea cea sfântă a Lui.
Ψλ28:3 φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν, Κύριος ἐπὶ ὑδάτων πολλῶν.	*3. Glasul Domnului peste ape, Dumnezeul slavei a tunat; Domnul peste ape multe.*	**Ψλ28:3** Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης **ἐβρόντησε**, Κύριος ἐπὶ ὑδάτων πολλῶν.	3. Glasul Domnului peste ape, Dumnezeul slavei a tunat, Domnul peste ape multe.
Ψλ28:4 φωνὴ Κυρίου ἐν ἰσχύι, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.	*4. Glasul Domnului întru tărie, glasul Domnului întru mare cuviinţă.*	**Ψλ28:4** Φωνὴ Κυρίου ἐν **ἰσχΰϊ**, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.	4. Glasul Domnului întru tărie, glasul Domnului întru mare cuviinţă.
Ψλ28:5 φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου,	*5. Glasul Domnului cel ce sfărâmă cedrii, şi va sfărâma Domnul cedrii Libanului,*	**Ψλ28:5** Φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου.	5. Glasul Domnului cel ce sfărâmă cedrii, şi va sfărâma Domnul cedrii Libanului.
Ψλ28:6 καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.	*6. şi-i va zdrumica pe dânşii ca pe viţelul Libanului, şi cel iubit ca fiul inorogilor.*	**Ψλ28:6** Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.	6. Şi-i va sfărâma pe dânşii ca pe viţelul Libanului, şi cel iubit ca fiul inorogilor.
Ψλ28:7 φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός, **Ψλ28:8** φωνὴ Κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει Κύριος τὴν ἔρημον Καδης.	*7. Glasul Domnului celui ce taie para focului,* *8. glasul Domnului cel ce clatină pustiul, şi va clătina Domnul pustiul Caddeşului.*	**Ψλ28:7** Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός· φωνὴ Κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει Κύριος τὴν ἔρημον Καδης.	7. Glasul Domnului cel ce taie para focului; glasul Domnului cel ce clatină pustiul, şi va clătina Domnul pustiul Caddeşului.
Ψλ28:9 φωνὴ Κυρίου καταρτιζομένου ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς· καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.	*9. Glasul Domnului cel ce săvârşeşte cerbii, şi va descoperi dumbrăvile; şi în Biserica Lui tot cine spune slavă.*	**Ψλ28:8** Φωνὴ Κυρίου **καταρτιζομένη** ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς· καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.	8. Glasul Domnului cel ce desăvârşeşte cerbii, şi va descoperi dumbrăvile (desişurile); şi în Biserica Lui oricine (tot cine) spune slavă.
Ψλ28:10 Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθίεται Κύριος	*10. Domnul potopul va locui, şi va şedea Domnul Împărat în*	**Ψλ28:9** Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται Κύριος	9. Domnul va locui potopul; şi va şedea Domnul Împărat în

βασιλεὺς εἰς τὸν αἰῶνα.	*veac.*	βασιλεὺς εἰς τὸν αἰῶνα.	veac.
Ψλ28:11 Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.	*11. Domnul tărie poporului Său va da, Domnul va binecuvânta pe poporul Său cu pace.*	**Ψλ28:10** Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.	10. Domnul tărie poporului Său va da, Domnul va binecuvânta pe poporul Său cu pace.
ΨΑΛΜΟΣ ΚΘ΄. Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου· τῷ Δαυΐδ.	*PSALMUL 29* *Întru sfârşit; psalm de laudă la înnoirea casei; a lui David.*	ΨΑΛΜΟΣ ΚΘ΄. Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου Δαυΐδ.	*PSALMUL 29* *Psalm de laudă la înnoirea casei lui David.*
Ψλ29:1 Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με καὶ οὐκ ηὔφρανας τοὺς ἐχθρούς μου ἐπ’ ἐμέ.	*1. Înălţa-Te-voi, Doamne, că m-ai ridicat pe mine, şi nu ai veselit pe vrăjmaşii mei asupra mea.*	**Ψλ29:1** Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ **εὔφρανας** τοὺς ἐχθρούς μου ἐπ’ ἐμέ.	1. Înălţa-Te-voi, Doamne, că m-ai ridicat pe mine, şi nu ai veselit pe vrăjmaşii mei asupra mea.
Ψλ29:2 Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με·	*2. Doamne, Dumnezeul meu, strigat-am către Tine şi m-ai vindecat;*	**Ψλ29:2** Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με.	2. Doamne, Dumnezeul meu, strigat-am către Tine şi m-ai vindecat.
Ψλ29:3 Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.	*3. Doamne, scos-ai din iad sufletul meu; mântuit-m-ai de cei ce se coboară în groapă.*	**Ψλ29:3** Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.	3. Doamne, scos-ai din iad sufletul meu, mântuitu-m-ai de cei ce se coboară în groapă.
Ψλ29:4 ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ·	*4. Cântaţi Domnului, cei cuvioşi ai Lui, şi vă mărturisiţi pomenirii sfinţeniei Lui.*	**Ψλ29:4** Ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.	4. Cântaţi Domnului, cei cuvioşi ai Lui, şi vă mărturisiţi pomenirii sfinţeniei Lui.
Ψλ29:5 ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ· τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.	*5. Că urgie este întru mânia Lui, şi viaţă întru voia Lui; seara se va sălăşlui plângere, şi dimineaţa bucurie.*	**Ψλ29:5** Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ· **Ψλ29:6** Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.	5. Că urgie este întru mânia Lui, şi viaţă întru voia Lui. 6. Seara se va sălăşlui plângere, iar dimineaţa bucurie.
Ψλ29:6 ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.	*6. Iar eu am zis, întru prisosinţa mea: Nu mă voi clătina în veac.*	**Ψλ29:7** Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.	7. Iar eu am zis întru îndestularea mea: Nu mă voi clătina în veac.
Ψλ29:7 Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν· ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.	*7. Doamne, întru voia Ta, dă frumuseţii mele putere; iar întorcându-Ţi faţa Ta şi m-am făcut tulburat.*	**Ψλ29:8** Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν, ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.	8. Doamne, întru voia Ta, dă frumuseţii mele putere, iar întorcându-Ţi faţa Ta, şi m-am tulburat.
Ψλ29:8 πρὸς σέ, Κύριε, κεκράξομαι καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.	*8. Către Tine, Doamne voi striga, şi către Dumnezeul meu mă voi ruga.*	**Ψλ29:9** Πρὸς σέ, Κύριε, κεκράξομαι καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.	9. Către Tine, Doamne, voi striga, şi către Dumnezeul meu mă voi ruga.
Ψλ29:9 Τίς ὠφέλεια ἐν	*9. Ce folos este întru*	**Ψλ29:10** Τίς ὠφέλεια ἐν	10. Ce folos este întru

τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν; μὴ ἐξομολογήσεταί σοι χοῦς ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;	*sângele meu, când mă cobor întru stricăciune? Au doară se va mărturisi Ţie ţărâna? Sau va vesti adevărul Tău?*	τῷ αἵματί μου, ἐν τῷ **καταβαίμειν** με εἰς διαφθοράν; **Ψλ29:11** Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;	sângele meu, când mă cobor întru stricăciune? 11. Au doară se va mărturisi Ţie ţărâna, sau va vesti adevărul Tău?
Ψλ29:10 ἤκουσεν Κύριος καὶ ἠλέησέν με, Κύριος ἐγενήθη βοηθός μου.	*10. Auzit-a Domnul şi m-a miluit; Domnul a fost ajutorul meu.*	**Ψλ29:12** **Ἤκουσε** Κύριος καὶ **ἠλέησέ** με, Κύριος ἐγενήθη βοηθός μου.	12. Auzit-a Domnul şi m-a miluit, Domnul a fost ajutorul meu.
Ψλ29:11 ἔστρεψας τὸν κοπετόν μου εἰς χορὸν ἐμοί, διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην,	*11. Întors-ai suspinul meu spre bucurie mie, rumpt-ai sacul meu şi m-ai încins cu veselie,*	**Ψλ29:13** Ἔστρεψας τὸν κοπετόν μου εἰς **χαρὰν** ἐμοί, διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην,	13. Întors-a suspinul meu spre bucurie mie, rupt-ai sacul meu, şi m-ai încins cu veselie,
Ψλ29:12 ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ κατανυγῶ· Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.	*12. ca să-Ţi cânte Ţie slava mea, şi nu mă voi mâhni; Doamne, Dumnezeul meu, în veac mă voi mărturisi Ţie.*	**Ψλ29:14** Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ κατανυγῶ. Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι. Δόξα...	14. ca să cânte Ţie slava mea, şi nu mă voi mâhni. Doamne, Dumnezeul meu, în veac mă voi mărturisi Ţie. Slavă…
ΨΑΛΜΟΣ Λ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ· ἐκστάσεως.	*PSALMUL 30 Întru sfârşit; psalm al lui David; pentru uimire.*	ΨΑΛΜΟΣ Λ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ, ἐκστάσεως.	*PSALMUL 30 Întru sfârşit; psalm al lui David, pentru uimire.*
Ψλ30:1 Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.	*1. Spre Tine, Doamne, am nădăjduit, să nu mă ruşinez în veac; întru dreptatea Ta izbăveşte-mă şi mă scoate.*	**Ψλ30:1** Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.	1. Spre Tine, Doamne, am nădăjduit, să nu mă ruşinez în veac; întru dreptatea Ta, izbăveşte-mă şi mă scoate.
Ψλ30:2 κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με· γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.	*2. Pleacă către mine urechea Ta, grăbeşte de mă scoate; fii mie Dumnezeu apărător şi casă de scăpare, ca să mă mântuieşti.*	**Ψλ30:2** Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με. **Ψλ30:3** Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.	2. Pleacă spre mine urechea Ta, grăbeşte de mă scoate. 3. Fii mie Dumnezeu apărător şi casă de scăpare, ca să mă mântuieşti.
Ψλ30:3 ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σὺ καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με·	*3. Că puterea mea şi scăparea mea eşti Tu, şi pentru numele Tău mă vei povăţui şi mă vei hrăni;*	**Ψλ30:4** Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σὺ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με.	4. Că puterea mea şi scăparea mea eşti Tu, şi pentru numele Tău mă vei povăţui şi mă vei hrăni.
Ψλ30:4 ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ	*4. scoate-mă-vei din cursa aceasta, care au ascuns mie, că Tu eşti*	**Ψλ30:5** Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ	5. Scoate-mă din cursa aceasta, care au ascuns mie, că Tu eşti

ὑπερασπιστής μου.	*apărătorul meu.*	ὑπερασπιστής μου, Κύριε.	apărătorul meu, Doamne.
Ψλ30:5 εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.	*5. În mâinile Tale voi pune duhul meu; izbăvitu-m-ai Doamne Dumnezeul adevărului.*	**Ψλ30:6** Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.	6. În mâinile Tale voi pune duhul meu; izbăvitu-m-ai, Doamne, Dumnezeul adevărului.
Ψλ30:6 ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διὰ κενῆς· ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα.	*6. Urât-ai pe cei ce păzesc deşertăciunile în zadar; iar eu spre Domnul am nădăjduit.*	**Ψλ30:7** Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας **διακενῆς**. **Ψλ30:8** Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα· ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.	7. Urât-ai pe cei ce păzesc deşertăciunile în zadar. 8. Iar eu spre Domnul am nădăjduit; bucura-mă-voi şi mă voi veseli de mila Ta.
Ψλ30:7 ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου, ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου	*7. Bucura-mă-voi şi mă voi veseli de mila Ta, că ai căutat spre smerenia mea, mântuit-ai din nevoi sufletul meu*	**Ψλ30:9** Ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου.	9. Că ai căutat spre smerenia mea, mântuit-ai din nevoi sufletul meu.
Ψλ30:8 καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθροῦ, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.	*8. şi nu m-ai lăsat închis în mâinile vrăjmaşului, pus-ai în loc desfătat picioarele mele.*	**Ψλ30:10** Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας **ἐχθρῶν**, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.	10. Şi nu m-ai lăsat închis în mâinile vrăjmaşilor; pus-ai în loc desfătat picioarelor mele.
Ψλ30:9 ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.	*9. Miluieşte-mă, Doamne, că mă necăjesc; tulburatu-s-a întru mânie ochiul meu, sufletul meu şi pântecele meu.*	**Ψλ30:11** Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.	11. Miluieşte-mă, Doamne, că mă necăjesc; tulburatu-s-a întru mânie ochiul meu, sufletul meu şi pântecele meu.
Ψλ30:10 ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς· ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.	*10. Că s-a stins întru dureri viaţa mea, şi anii mei în suspinuri; slăbit-a întru sărăcie vârtutea mea, şi oasele mele s-au tulburat.*	**Ψλ30:12** Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. **Ψλ30:13** Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.	12. Că s-a stins întru durere viaţa mea, şi anii mei întru suspinuri. 13. Slăbit-a întru sărăcie vârtutea mea, şi oasele mele s-au tulburat.
Ψλ30:11 παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος καὶ τοῖς γείτοσίν μου σφόδρα καὶ φόβος τοῖς γνωστοῖς μου, οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ’ ἐμοῦ.	*11. La toţi vrăjmaşii mei m-am făcut ocară şi vecinilor mei foarte, şi frică cunoscuţilor mei, cei ce mă vedeau afară au fugit de la mine.*	**Ψλ30:14** Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσίν μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. **Ψλ30:15** Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ’ ἐμοῦ, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας.	14. La toţi vrăjmaşii mei m-am făcut de ocară, şi celor de aproape ai mei foarte, şi frică cunoscuţilor mei. 15. Cei ce mă vedeau afară au fugit de la mine, uitat am fost ca un mort de la inimă.
Ψλ30:12 ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας, ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.	*12. Uitat am fost ca un mort de la inimă, făcutu-m-am ca un vas pierdut.*	**Ψλ30:16** Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός·	16. Facutu-m-am ca un vas stricat; că am auzit
Ψλ30:13 ὅτι ἤκουσα	*13. Că am auzit ocara*		

ψόγον πολλῶν παροικούντων κυκλόθεν· ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ’ ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.	*multora din cei ce locuiesc împrejur, când se adunau ei împreună asupra mea, ca să ia sufletul meu s-au sfătuit.*	ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν.	ocara multora din cei ce locuiesc împrejur.
		Ψλ30:17 Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ’, ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.	17. Când se adunau ei împreună asupra mea, ca să ia sufletul meu s-au sfătuit.
Ψλ30:14 ἐγὼ δὲ ἐπὶ σὲ ἤλπισα, Κύριε, εἶπα· Σὺ εἶ ὁ Θεός μου.	*14. Iar eu spre Tine am nădăjduit, Doamne, zis-am: Tu eşti Dumnezeul meu.*	**Ψλ30:18** Ἐγὼ δὲ ἐπὶ **σοί**, Κύριε, ἤλπισα· εἶπα· Σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς **χερσί** σου οἱ **κλῆροί** μου.	18. Iar eu spre Tine, Doamne, am nădăjduit; zis-am: Tu eşti Dumnezeul meu, în mâinile Tale sorţii mei;
Ψλ30:15 ἐν ταῖς χερσίν σου οἱ καιροί μου· ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με.	*15. În mâinile Tale sorţii mei; izbăveşte-mă din mâna vrăjmaşilor mei şi de cei ce mă prigonesc.*	**Ψλ30:19** Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με.	19. Izbăveşte-mă din mâna vrăjmaşilor mei şi de cei ce mă prigonesc.
Ψλ30:16 ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου.	*16. Arată faţa Ta peste robul tău, mântuieşte-mă cu mila Ta.*	**Ψλ30:20** Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου.	20. Arată faţa Ta către robul Tău; mântuieşte-mă cu mila Ta.
Ψλ30:17 Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν **οἱ** ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου.	*17. Doamne, să nu mă ruşinez, că Te-am chemat pe Tine; să se ruşineze necinstitorii şi să se coboare în iad.*	**Ψλ30:21** Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου.	21. Doamne, să nu mă ruşinez, că Te-am chemat pe Tine; să se ruşineze necinstitorii şi să se coboare în iad.
Ψλ30:18 ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.	*18. Mute să se facă buzele cele viclene, care grăiesc asupra dreptului fărădelege, cu mândrie şi cu defăimare.*	**Ψλ30:22** Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.	22. Mute să se facă buzele cele viclene, care grăiesc asupra dreptului fărădelege, cu mândrie şi cu defăimare.
Ψλ30:19 ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.	*19. Cât este de multă mulţimea bunătăţii Tale, Doamne, pe care o ai ascuns-o celor ce se tem de Tine! Făcut-ai celor ce nădăjduiesc spre Tine înaintea fiilor oamenilor.*	**Ψλ30:23** Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε· ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ **σέ**, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.	23. Cât este de mare mulţimea bunătăţii Tale, Doamne, pe care ai ascuns-o celor ce se tem de Tine! Pe care ai făcut-o celor ce nădăjduiesc spre Tine, înaintea fiilor oamenilor.
Ψλ30:20 κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων, σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.	*20. Ascunde-vei pe dânşii întru ascunsul feţei Tale, de turburarea oamenilor, acoperi-vei pe ei în cort de grăirea împotrivă a limbilor.*	**Ψλ30:24** Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων, σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.	24. Ascunde-vei pe dânşii întru ascunsul feţei Tale, de tulburarea oamenilor, acoperi-vei pe dânşii în cort de grăirea împotrivă a limbilor.
Ψλ30:21 εὐλογητὸς Κύριος, ὅτι	*21. Bine este cuvântat Domnul, că a minunat*	**Ψλ30:25** Εὐλογητὸς	25. Bine este cuvântat

ἐθαυμάστωσεν τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.	*mila Sa în cetatea îngrădirii.*	Κύριος, ὅτι **ἐθαυμάστωσε** τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.	Domnul, că a minunat mila Sa în cetatea îngrădirii.
Ψλ30:22 ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.	*22. Iar eu am zis întru uimirea mea: Lepădat sunt de către faţa ochilor Tăi. Pentru aceasta ai auzit glasul rugăciunii (cererii) mele, când am strigat către Tine.*	**Ψλ30:26** Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. **Ψλ30:27** Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.	26. Iar eu am zis întru uimirea mea: Lepădat sunt de către faţa ochilor Tăi. 27. Pentru aceasta ai auzit glasul rugăciunii mele, când am strigat către Tine.
Ψλ30:23 ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος καὶ ἀνταποδίδωσιν τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.	*23. Iubiţi pe Domnul, toţi cuvioşii Lui, că adevărul caută Domnul şi răsplăteşte celor ce de prisosit fac mândrie.*	**Ψλ30:28** Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ **ἀνταποδίδωσι** τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.	28. Iubiţi pe Domnul, toţi cuvioşii Lui, că adevărul caută Domnul şi răsplăteşte celor ce cu prisos fac mândrie.
Ψλ30:24 ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.	*24. Îmbărbătaţi-vă şi să se întărească inima voastră, toţi cei ce nădăjduiţi spre Domnul.*	**Ψλ30:29** Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.	29. Îmbărbătaţi-vă şi să se întărească inima voastră, toţi ce nădăjduiţi spre Domnul.
ΨΑΛΜΟΣ ΛΑ΄. Τῷ Δαυΐδ· συνέσεως.	*PSALMUL 31* *Al lui David; de pricepere.*	ΨΑΛΜΟΣ ΛΑ΄. Τῷ Δαυΐδ, συνέσεως.	*PSALMUL 31* *Al lui David, de pricepere.*
Ψλ31:1 Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· **Ψλ31:2** μακάριος ἀνήρ, οὗ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.	*1. Fericiţi cărora s-au iertat fărădelegile şi cărora li s-au acoperit păcatele;* *2. fericit bărbatul căruia nu-i va socoti Domnul păcatul, nici este în gura lui vicleşug.*	**Ψλ31:1** Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. **Ψλ31:2** Μακάριος ἀνήρ, **ᾧ** οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, **οὐδέ ἐστιν** ἐν τῷ στόματι αὐτοῦ δόλος.	1. Fericiţi cei cărora s-au iertat fărădelegile, şi cărora li s-au acoperit păcatele. 2. Fericit bărbatul căruia nu-i va socoti Domnul păcatul, nici este în gura lui vicleşug.
Ψλ31:3 ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν· **Ψλ31:4** ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναι ἄκανθαν.	*3. Că am tăcut, învechitu-s-au oasele mele, când strigam eu toată ziua;* *4. că ziua şi noaptea s-a îngreuiat peste mine mâna Ta; întorsu-m-am spre chinuire când s-a înfipt mie ghimpele.*	**Ψλ31:3** Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν. **Ψλ31:4** Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ **ἐμπαγῆναί μοι**	3. Că am tăcut, îmbătrânit-au oasele mele, când strigam eu toată ziua. 4. Că ziua şi noaptea s-a îngreuiat peste mine mâna Ta; întorsu-m-am spre chinuire când s-a înfipt întru mine ghimpele.

		ἄκανθαν.	
Ψλ31:5 τὴν ἁμαρτίαν μου ἐγνώρισα καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα· εἶπα Ἐξαγορεύσω κατ’ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου.	*5. Păcatul meu am cunoscut şi fărădelegea mea nu am acoperit; zis-am: Mărturisi-voi asupra mea fărădelegea mea Domnului; şi Tu ai lăsat (iertat) păgânătatea (necinstea) păcatului meu.*	**Ψλ31:5** Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. **Ψλ31:6** Εἶπα· Ἐξαγορεύσω κατ’ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς **καρδίας** μου.	5. Fărădelegea mea am cunoscut, şi păcatul meu nu l-am ascuns. 6. Zis-am: Mărturisi-voi asupra mea fărădelegea mea Domnului, şi Tu ai lăsat necinstirea inimii mele.
Ψλ31:6 ὑπὲρ ταύτης προσεύξεται πᾶς ὅσιος πρὸς σὲ ἐν καιρῷ εὐθέτῳ· πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν.	*6. Pentru aceasta se va ruga tot cuviosul către Tine în vreme potrivită; însă în potop de ape multe, către dânsul nu se vor apropia.*	**Ψλ31:7** Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ· πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ **ἐγγιοῦσι**.	7. Pentru aceasta se va ruga către Tine tot cuviosul în vreme potrivită, însă în potop de ape multe, către dânsul nu se va apropia.
Ψλ31:7 σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.	*7. Tu eşti scăparea mea de necazul ce mă cuprinde; bucuria mea, izbăveşte-mă de cei ce m-au înconjurat.*	**Ψλ31:8** Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με, τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.	8. Tu eşti scăparea mea de necazul ce mă cuprinde, bucuria mea, izbăveşte-mă de cei ce m-au înconjurat.
Ψλ31:8 συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.	*8. Înţelepţi-te-voi şi te voi îndrepta în calea aceasta în care vei merge; aţinti-voi spre Tine ochii mei.*	**Ψλ31:9** Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.	9. Înţelepţi-te-voi şi te voi îndrepta în calea aceasta în care vei merge, aţinti-voi spre tine ochii Mei.
Ψλ31:9 μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις, ἐν χαλινῷ καὶ κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι τῶν μὴ ἐγγιζόντων πρὸς σέ.	*9. Nu fiţi ca (precum) calul şi catârul, întru care nu este pricepere; în zăbală şi frâu fălcile lor vei strânge, ale celor ce nu se apropie către Tine.*	**Ψλ31:10** Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ **ἔστι** σύνεσις. **Ψλ31:11** Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν **ἄγξαις,** τῶν μὴ ἐγγιζόντων πρὸς σέ.	10. Nu fiţi precum calul şi catârul, întru care nu este pricepere. 11. Cu zăbală şi frâu fălcile lor le vei strânge, ale celor ce nu se apropie de Tine.
Ψλ31:10 πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.	*10. Multe sunt bătăile păcătosului; iar pe cel ce nădăjduieşte spre Domnul, mila îl va înconjura.*	**Ψλ31:12** Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.	12. Multe sunt bătăile păcătosului, iar pe cel ce nădăjduieşte în Domnul, mila îl va înconjura.
Ψλ31:11 εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.	*11. Veseliţi-vă întru Domnul şi vă bucuraţi, drepţilor, şi vă lăudaţi toţi cei drepţi la inimă.*	**Ψλ31:13** Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα...	13. Veseliţi-vă întru Domnul, şi vă bucuraţi, drepţilor, şi vă lăudaţi, toţi cei drepţi la inimă. Slavă…

ΨΑΛΜΟΣ ΛΒ΄. Τῷ Δαυῒδ· ἀνεπίγραφος παρ' 'εβραίοις.	*PSALMUL 32* *Al lui David; nescris deasupra la evrei.*	ΚΑΘΙΣΜΑ ΠΕΜΠΤΟΝ ΨΑΛΜΟΣ ΛΒ΄. Τῷ Δαυῒδ· ἀνεπίγραφος παρ' Ἑβραίοις.	Catisma a cincea *PSALMUL 32* *Al lui David; nescris deasupra la Evrei.*
Ψλ32:1 Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν **τῷ** Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.	*1. Bucuraţi-vă, drepţii, întru Domnul; celor drepţi li se cuvine lauda.*	**Ψλ32:1** Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.	1. Bucuraţi-vă, drepţilor, întru Domnul; celor drepţi li se cuvine laudă.
Ψλ32:2 ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.	*2. Mărturisiţi-vă Domnului în alăută, în psaltire cu zece strune cântaţi-i Lui.*	**Ψλ32:2** Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.	2. Mărturisiţi-vă Domnului în alăută, în psaltire cu zece strune cântaţi Lui.
Ψλ32:3 ᾄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.	*3. Cântaţi-i Lui cântare nouă, bine cântaţi-i Lui întru strigare.*	**Ψλ32:3** Ἄσατε αὐτῷ ᾆσμα καινόν, καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.	3. Cântaţi Lui cântare nouă, bine cântaţi Lui întru strigare.
Ψλ32:4 ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει·	*4. Că drept este cuvântul Domnului, şi toate lucrurile Lui întru credinţă;*	**Ψλ32:4** ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.	4. Că drept este cuvântul Domnului, şi toate lucrurile Lui întru credinţă.
Ψλ32:5 ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν, τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.	*5. iubeşte milostenia şi judecata, de mila Domnului este plin pământul.*	**Ψλ32:5** Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος, τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.	5. Iubeşte milostenia şi judecata Domnul, de mila Domnului este plin pământul.
Ψλ32:6 τῷ λόγῳ **τοῦ** Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·	*6. Cu Cuvântul Domnului cerurile s-au întărit, şi cu Duhul gurii Lui toată puterea lor;*	**Ψλ32:6** Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.	6. Cu cuvântul Domnului cerurile s-au întărit, şi cu duhul gurii Lui toată puterea lor.
Ψλ32:7 συνάγων ὡς ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.	*7. adunând ca un foale apele mării, punând în vistierii adâncurile.*	**Ψλ32:7** Συνάγων **ὡσεὶ** ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.	7. Adunând ca un burduf apele mării, punând în vistierii adâncurile.
Ψλ32:8 φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην·	*8. Să se teamă de Domnul tot pământul, şi de Dânsul să se cutremure toţi cei ce locuiesc în lume.*	**Ψλ32:8** Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.	8. Să se teamă de Domnul tot pământul, şi de Dânsul să se cutremure toţi cei ce locuiesc în lume.
Ψλ32:9 ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.	*9. Că El a zis şi s-au făcut, El a poruncit, şi s-au zidit.*	**Ψλ32:9** Ὅτι αὐτὸς **εἶπε**, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.	9. Că El a zis, şi s-au făcut; El a poruncit, şi s-au zidit.
Ψλ32:10 Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν καὶ ἀθετεῖ βουλὰς ἀρχόντων·	*10. Domnul risipeşte sfaturile neamurilor, leapădă gândurile popoarelor şi defaimă sfaturile căpeteniilor (începătorilor);*	**Ψλ32:10** Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.	10. Domnul risipeşte sfaturile neamurilor, leapădă gândurile popoarelor şi defaimă sfaturile căpeteniilor.
Ψλ32:11 ἡ δὲ βουλὴ τοῦ	*11. iar sfatul Domnului*	**Ψλ32:11** Ἡ δὲ βουλὴ	11. Iar sfatul Domnului

Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.	*rămâne în veac, gândurile inimii Lui, în neam şi în neam.*	τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.	rămâne în veac, gândurile inimii Lui în neam şi în neam.
Ψλ32:12 μακάριον τὸ ἔθνος, οὗ ἐστιν Κύριος ὁ Θεὸς αὐτοῦ, λαός, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.	*12. Fericit este neamul căruia Domnul este Dumnezeul lui, poporul pe care l-a ales spre moştenire Luişi.*	**Ψλ32:12** Μακάριον τὸ ἔθνος, οὗ **ἐστι** Κύριος ὁ Θεὸς αὐτοῦ, λαός, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.	12. Fericit este neamul căruia Domnul este Dumnezeu al lui, poporul pe care l-a ales spre moştenire Luişi.
Ψλ32:13 ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδεν πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων·	*13. Din cer au privit Domnul, văzut-a pe toţi fiii oamenilor;*	**Ψλ32:13** Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, **εἶδε** πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.	13. Din cer a privit Domnul, văzut-a pe toţi fii oamenilor.
Ψλ32:14 ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν,	*14. din locaşul Său cel gata, privit-a spre toţi cei ce locuiesc pe pământ,*	**Ψλ32:14** Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν,	14. Din locaşul Său cel gata, privit-a spre toţi cei ce locuiesc pe pământ,
Ψλ32:15 ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.	*15. Cel ce a zidit deosebi inimile lor, Cel ce cunoaşte toate lucrurile lor.*	**Ψλ32:15** ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.	15. Cel ce a zidit deosebi inimile lor, Cel ce cunoaşte toate lucrurile lor.
Ψλ32:16 οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ·	*16. Nu se mântuieşte împăratul prin multă putere, şi uriaşul nu se va mântui întru mulţimea vârtuţii lui;*	**Ψλ32:16** Οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.	16. Nu se mântuieşte împăratul prin putere multă, şi uriaşul nu se va mântui întru mulţimea vârtuţii lui.
Ψλ32:17 ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.	*17. mincinos este calul spre mântuire, şi întru mulţimea puterii lui nu se va mântui.*	**Ψλ32:17** Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.	17. Mincinos este calul spre mântuire, şi întru mulţimea puterii sale nu se va mântui.
Ψλ32:18 ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ,	*18. Iată, ochii Domnului spre cei ce se tem de Dânsul, spre cei ce nădăjduiesc întru mila Lui,*	**Ψλ32:18** Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ,	18. Iată, ochii Domnului spre cei ce se tem de Dânsul, spre cei ce nădăjduiesc întru mila Lui,
Ψλ32:19 ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.	*19. ca să izbăvească din moarte sufletele lor şi să-i hrănească pe dânşii în foamete.*	**Ψλ32:19** ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.	19. Ca să izbăvească din moarte sufletele lor, şi să-i hrănească pe dânşii în foamete.
Ψλ32:20 ἡ ψυχὴ ἡμῶν ὑπομένει τῷ Κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν·	*20. Iar sufletul nostru aşteaptă pe Domnul, că ajutorul şi scutitorul (apărătorul) nostru este;*	**Ψλ32:20** Ἡ ψυχὴ ἡμῶν ὑπομένει τῷ Κυρίῳ, ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν.	20. Iar sufletul nostru aşteaptă pe Domnul, că ajutorul şi sprijinitorul nostru este.
Ψλ32:21 ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.	*21. că întru Dânsul se va veseli inima noastră, şi întru numele cel sfânt al Lui am nădăjduit.*	**Ψλ32:21** Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.	21. Că întru Dânsul se va veseli inima noastră, şi întru numele cel sfânt al Lui am nădăjduit.

Ψλ32:22 γένοιτο τὸ ἔλεός σου, Κύριε, ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.	*22. Fie, Doamne, mila Ta spre noi, precum am nădăjduit întru Tine.*	Ψλ32:22 Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.	22. Fie, Doamne, mila Ta spre noi, precum am nădăjduit şi noi întru Tine.
ΨΑΛΜΟΣ ΛΓ΄. Τῷ Δαυΐδ, ὁπότε ἠλλοίωσεν τὸ πρόσωπον αὐτοῦ ἐναντίον Αβιμελεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.	*PSALMUL 33* *A lui David, când şi-a schimbat faţa sa înaintea lui Abimelec, şi l-a slobozit pe el şi s-a dus.*	ΨΑΛΜΟΣ ΛΓ΄. Τῷ Δαυΐδ, ὅτε ἠλλοίωσεν τὸ πρόσωπον αὐτοῦ ἐναντίον Αβιμελεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.	*PSALMUL 33* *Al lui David, când şi-a schimbat faţa sa înaintea lui Abimelec, şi l-a slobozit pe el şi s-a dus.*
Ψλ33:1 Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.	*1. Bine voi cuvânta pe Domnul în toată vremea, pururea lauda Lui în gura mea.*	Ψλ33:1 Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, **διαπαντὸς** ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.	1. Binecuvânta-voi pe Domnul în toată vremea, pururi lauda Lui în gura mea.
Ψλ33:2 ἐν τῷ Κυρίῳ ἐπαινεσθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.	*2. Întru Domnul se va lăuda sufletul meu; să audă cei blânzi şi să se veselească.*	Ψλ33:2 Ἐν τῷ Κυρίῳ ἐπαινεσθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.	2. Întru Domnul se va lăuda sufletul meu; să audă cei blânzi şi să se veselească.
Ψλ33:3 μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.	*3. Slăviţi (Măriţi) pe Domnul împreună cu mine, şi să înălţăm numele Lui împreună.*	Ψλ33:3 Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.	3. Măriţi pe Domnul împreună cu mine, şi să înălţăm numele Lui împreună.
Ψλ33:4 ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέν μου καὶ ἐκ πασῶν τῶν θλίψεων μου ἐρρύσατό με.	*4. Căutat-am pe Domnul şi m-a auzit, şi din toate necazurile mele m-a izbăvit.*	Ψλ33:4 Ἐξεζήτησα τὸν Κύριον, καὶ **ἐπήκουσέ** μου, καὶ ἐκ πασῶν τῶν θλίψεων μου ἐρρύσατό με.	4. Căutat-am pe Domnul, şi m-a auzit, şi din toate necazurile mele m-a izbăvit.
Ψλ33:5 προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.	*5. Apropiaţi-vă de (către) Dânsul şi vă luminaţi, şi feţele voastre nu se vor ruşina.*	Ψλ33:5 Προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.	5. Apropiaţi-vă de Dânsul şi vă luminaţi, şi feţele voastre nu se vor ruşina.
Ψλ33:6 οὗτος ὁ πτωχὸς ἐκέκραξεν, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.	*6. Săracul acesta a strigat, şi Domnul l-a auzit pe dânsul, şi din toate necazurile lui l-a mântuit.*	Ψλ33:6 Οὗτος ὁ πτωχὸς **ἐκέκραξε**, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.	6. Săracul acesta a strigat, şi Domnul l-a auzit pe el, şi din toate necazurile lui l-a mântuit.
Ψλ33:7 παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.	*7. Străjui-va (Îngrădi-va) îngerul Domnului împrejurul celor ce se tem de Dânsul şi-i va izbăvi pe ei.*	Ψλ33:7 Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.	7. Străjui-va îngerul Domnului împrejurul celor ce se tem de Dânsul şi-i va izbăvi pe ei.
Ψλ33:8 γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.	*8. Gustaţi şi vedeţi, că bun este Domnul; fericit bărbatul care nădăjduieşte spre*	Ψλ33:8 Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.	8. Gustaţi şi vedeţi că bun este Domnul; fericit bărbatul care nădăjduieşte spre

	Dânsul.		Dânsul.
Ψλ33:9 φοβήθητε τὸν Κύριον, οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.	*9. Temeţi-vă de Domnul sfinţii Lui, că nu este lipsă celor ce se tem de Dânsul.*	**Ψλ33:9** Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.	9. Temeţi-vă de Domnul toţi sfinţii Lui, că nu este lipsă celor ce se tem de Dânsul.
Ψλ33:10 πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.	*10. Bogaţii au sărăcit şi au flămânzit, iar cei ce-L caută pe Domnul nu se vor lipsi de tot binele.*	**Ψλ33:10** Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.	10. Bogaţii au sărăcit şi au flămânzit, iar cei ce-L caută pe Domnul nu se vor lipsi de tot binele.
Ψλ33:11 δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς.	*11. Veniţi, fiilor, ascultaţi-mă, frica Domnului vă voi învăţa pe voi.*	**Ψλ33:11** Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς.	11. Veniţi, fiilor, ascultaţi-mă, frica Domnului vă voi învăţa pe voi.
Ψλ33:12 τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;	*12. Cine este omul cel ce voieşte viaţa, care iubeşte să vadă zile bune?*	**Ψλ33:12** Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;	12. Cine este omul cel ce voieşte viaţa, care iubeşte să vadă zile bune?
Ψλ33:13 παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.	*13. Opreşte-ţi limba ta de la rău, şi buzele tale să nu grăiască vicleşug.*	**Ψλ33:13** Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.	13. Opreşte-ţi limba de la rău, şi buzele tale să nu grăiască vicleşug.
Ψλ33:14 ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.	*14. Fereşte-te de rău şi fă binele, caută pacea şi o urmează pe ea.*	**Ψλ33:14** Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.	14. Fereşte-te de rău şi fă binele, caută pacea şi o urmează pe ea.
Ψλ33:15 ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.	*15. Ochii Domnului spre cei drepţi, şi urechile Lui spre rugăciunea lor.*	**Ψλ33:15** Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.	15. Ochii Domnului spre cei drepţi, şi urechile Lui spre rugăciunea lor.
Ψλ33:16 πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολεθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.	*16. Iar faţa Domnului asupra celor ce fac rele, ca să piardă de pe pământ pomenirea lor.*	**Ψλ33:16** Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολεθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.	16. Iar faţa Domnului asupra celor ce fac rele, ca să piardă de pe pământ pomenirea lor.
Ψλ33:17 ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.	*17. Strigat-au drepţii, şi Domnul i-a auzit pe ei, şi din toate necazurile lor i-a izbăvit.*	**Ψλ33:17** Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.	17. Strigat-au drepţii, şi Domnul i-a auzit pe ei, şi din toate necazurile lor i-a izbăvit.
Ψλ33:18 ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.	*18. Aproape este Domnul de cei zdrobiţi la inimă, şi pe cei smeriţi cu duhul îi va mântui.*	**Ψλ33:18** Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.	18. Aproape este Domnul de cei zdrobiţi la inimă, şi pe cei smeriţi cu duhul îi va mântui.
Ψλ33:19 πολλαὶ αἱ	*19. Multe sunt*	**Ψλ33:19** Πολλαὶ αἱ	19. Multe sunt

θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς.	*necazurile drepţilor, şi din toate acelea îi va izbăvi pe ei.*	θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς **ὁ Κύριος.**	necazurile drepţilor, şi din toate acelea îi va izbăvi pe ei Domnul.
Ψλ33:20 Κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.	*20. Domnul păzeşte toate oasele lor, nici unul din ele nu se va zdrobi.*	Ψλ33:20 Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.	20. Domnul păzeşte toate oasele lor, nici unul din ele nu se va zdrobi.
Ψλ33:21 θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν.	*21. Moartea păcătoşilor este cumplită, şi cei ce urăsc pe cel drept vor greşi.*	Ψλ33:21 Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον **πλημμελήσουσι**.	21. Moartea păcătoşilor este cumplită, şi cei ce urăsc pe cel drept vor greşi.
Ψλ33:22 λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσωσιν πάντες οἱ ἐλπίζοντες ἐπ’ αὐτόν.	*22. Mântui-va (Izbăvi-va) Domnul sufletele robilor Săi, şi nu vor greşi toţi cei ce nădăjduiesc spre Dânsul.*	Ψλ33:22 Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ **πλημμελήσωσι** πάντες οἱ ἐλπίζοντες ἐπ’ αὐτόν. Δόξα...	22. Mântui-va Domnul sufletele robilor Săi, şi nu vor greşi toţi ce nădăjduiesc spre Dânsul. Slavă…
ΨΑΛΜΟΣ ΛΔ΄. Τῷ Δαυΐδ.	*PSALMUL 34* *A lui David.*	ΨΑΛΜΟΣ ΛΔ΄. Τῷ Δαυΐδ.	*PSALMUL 34* *Psalm al lui David.*
Ψλ34:1 Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.	*1. Judecă, Doamne, pe cei ce-mi fac strâmbătate; dă război celor ce mă războiesc.*	Ψλ34:1 Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.	1. Judecă, Doamne, pe cei ce-mi fac strâmbătate; luptă împotriva celor ce luptă cu mine.
Ψλ34:2 ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς βοήθειάν μου,	*2. Apucă armă şi pavăză, şi Te scoală întru ajutorul meu,*	Ψλ34:2 Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς βοήθειάν μου.	2. Apucă armă şi pavăză, şi Te scoală într-ajutorul meu.
Ψλ34:3 ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με· εἰπὸν τῇ ψυχῇ μου· Σωτηρία σου ἐγώ εἰμι.	*3. Varsă sabia, şi închide împotriva celor ce mă prigonesc; zi sufletului meu: Mântuirea ta Eu sunt.*	Ψλ34:3 Ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με· εἰπὸν τῇ ψυχῇ μου· Σωτηρία σου **εἰμὶ** ἐγώ.	3. Varsă sabia, şi mă închide împotriva celor ce mă prigonesc; zi sufletului meu: mântuirea ta sunt Eu.
Ψλ34:4 αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου, ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.	*4. Să se ruşineze şi să se înfrunte cei ce caută sufletul meu, întoarcă-se înapoi şi să se ruşineze cei ce-mi gândesc mie rele.*	Ψλ34:4 Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου· ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.	4. Să se ruşineze şi să se înfrunte cei ce caută sufletul meu; întoarcă-se înapoi şi să se ruşineze cei ce-mi gândesc mie rele.
Ψλ34:5 γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς·	*5. Să fie ca praful înaintea feţei vântului, şi îngerul Domnului necăjindu-i pe ei;*	Ψλ34:5 Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.	5. Să fie ca praful înaintea feţei vântului, şi îngerul Domnului necăjindu-i pe ei.

Ψλ34:6 γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς·	*6. facă-se calea lor întuneric şi alunecare, şi îngerul Domnului prigonindu-i pe dânşii;*	**Ψλ34:6** Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.	6. Facă-se calea lor întuneric şi alunecare, şi îngerul Domnului prigonindu-i pe dânşii.
Ψλ34:7 ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.	*7. Că în zadar au ascuns mie stricăciunea cursei lor, în deşert au ocărât sufletul meu.*	**Ψλ34:7** Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.	7. Că în zadar au ascuns mie stricăciunea cursei lor, în deşert au ocărât sufletul meu.
Ψλ34:8 ἐλθέτω αὐτοῖς παγίς, ἣν οὐ γινώσκουσιν, καὶ ἡ θήρα, ἣν ἔκρυψαν, συλλαβέτω αὐτούς, καὶ ἐν τῇ παγίδι πεσοῦνται ἐν αὐτῇ.	*8. Să-i vină lui cursa, pe care nu o ştie, şi prinzătoarea pe care o ascuns, să-l prindă pe el, şi în cursă să cadă într-însa.*	**Ψλ34:8** Ἐλθέτω **αὐτῷ** παγίς, ἣν οὐ **γινώσκει**, καὶ ἡ θήρα, ἣν **ἔκρυψε**, συλλαβέτω **αὐτόν**, καὶ ἐν τῇ παγίδι **πεσεῖται** ἐν αὐτῇ.	8. Să vină asupra lui cursa pe care nu o ştie, şi prinzătoarea pe care o ascuns, să-l prindă pe el, şi în cursă să cadă într-însa.
Ψλ34:9 ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ·	*9. Iar sufletul meu se va bucura de Domnul, veseli-se-va de mântuirea Lui;*	**Ψλ34:9** Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.	9. Iar sufletul meu se va bucura de Domnul, veseli-se-va de mântuirea Lui.
Ψλ34:10 πάντα τὰ ὀστᾶ μου ἐροῦσιν· Κύριε Κύριε, τίς ὅμοιός σοι; ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.	*10. Toate oasele mele vor zice: Doamne, Doamne, cine este asemenea ţie? Cel ce izbăveşti pe sărac din mâna celor mai tari decât el, şi pe sărac şi pe sărman de la cei ce-l răpesc pe dânsul.*	**Ψλ34:10** Πάντα τὰ ὀστᾶ μου **ἐροῦσι**· Κύριε Κύριε, τίς ὅμοιός σοι; ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.	10. Toate oasele mele vor zice: Doamne, Doamne, cine este asemenea Ţie? Cel ce izbăveşti pe sărac din mâna celor mai tari decât el, şi pe sărac şi pe sărman de la cei ce-l răpesc pe dânsul.
Ψλ34:11 ἀναστάντες μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἠρώτων (ἐπηρώτων) με·	*11. Sculându-se asupra mea mărturii nedrepte, de cele ce nu ştiam m-au întrebat.*	**Ψλ34:11** Ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με.	11. Ridicând asupra mea mărturii nedrepte, de cele ce nu ştiam m-au întrebat.
Ψλ34:12 ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.	*12. Răsplătit-au mie rele în loc bune, şi nerodire sufletului meu.*	**Ψλ34:12** Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ **ἀγαθῶν**, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.	12. Răsplătit-au mie rele în loc de bune, şi nerodire sufletului meu.
Ψλ34:13 ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.	*13. Iar eu, când mă supărau aceia, m-am îmbrăcat cu sac, şi am smerit cu post sufletul meu, şi rugăciunea mea în sânul meu se va întoarce.*	**Ψλ34:13** Ἐγὼ δὲ, ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.	13. Iar eu, când mă supărau aceia, m-am îmbrăcat cu sac, şi am smerit cu post sufletul meu, şi rugăciunea mea în sânul meu se va întoarce.
Ψλ34:14 ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν· ὡς πενθῶν καὶ	*14. Ca unui de-aproape, ca unui frate al nostru, aşa bine am făcut spre plăcere; ca şi cum m-aş*	**Ψλ34:14** Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν· ὡς πενθῶν καὶ	14. Ca unui de-aproape, ca unui frate al nostru, aşa bine am făcut spre plăcere; ca şi cum m-aş

σκυθρωπάζων, οὕτως ἐταπεινούμην.	*jeli şi m-aş mâhni, aşa m-am smerit.*	σκυθρωπάζων, οὕτως ἐταπεινούμην.	fi jelit şi m-aş fi mâhnit, aşa m-am smerit.
Ψλ34:15 καὶ κατ' ἐμοῦ ηὐφράνθησαν καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων, διεσχίσθησαν καὶ οὐ κατενύγησαν.	*15. Şi asupra mea s-au veselit şi s-au adunat; adunatu-s-au peste mine bătăi şi nu am ştiut, despărţitu-s-au, şi nu s-au umilit.*	**Ψλ34:15** Καὶ κατ' ἐμοῦ **εὐφράνθησαν** καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων.	15. Şi asupra mea s-au veselit şi s-au adunat; adunatu-s-au peste mine bătăi şi nu am ştiut.
Ψλ34:16 ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμόν, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.	*16. Ispititu-m-au, batjocoritu-m-au cu batjocoră, scrâşnit-au asupra mea cu dinţii lor.*	**Ψλ34:16** Διεσχίσθησαν καὶ οὐ κατενύγησαν· ἐπείρασάν με, ἐξεμυκτήρισάν με **μυκτηρισμῷ**, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.	16. Despărţitu-s-au şi nu s-au umilit; ispititu-m-au, batjocoritu-m-au cu batjocură, scrâşnit-au asupra mea cu dinţii lor.
Ψλ34:17 Κύριε, πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.	*17. Doamne, când vei vedea? Întoarce sufletul meu de la fapta lor cea rea, de la lei, pe cea una născută a mea.*	**Ψλ34:17** Κύριε, πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.	17. Doamne, când vei vedea? Întoarce sufletul meu de la fapta lor cea rea, de la lei, pe cea una născută a mea.
Ψλ34:18 ἐξομολογήσομαί σοι, Κύριε, ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.	*18. Mărturisi-mă-voi Ţie întru adunare multă; întru popor greu Te voi lăuda.*	**Ψλ34:18** Ἐξομολογήσομαί σοι Κύριε, ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.	18. Mărturisi-mă-voi Ţie întru adunare multă, întru popor greu Te voi lăuda.
Ψλ34:19 μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς.	*19. Să nu se bucure de mine cei ce-mi vrăjmăşesc mie cu nedreptate, cei ce mă urăsc în zadar şi fac semn cu ochii.*	**Ψλ34:19** Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς.	19. Să nu se bucure de mine cei ce-mi vrăjmăşesc mie cu nedreptate, cei ce mă urăsc în zadar şi fac semn cu ochii.
Ψλ34:20 ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο	*20. Că mie adică cele de pace îmi grăiau, şi spre mânie vicleşuguri gândeau*	**Ψλ34:20** Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.	20. Că mie adică cele de pace îmi grăiau, şi spre mânie vicleşuguri gândeau.
Ψλ34:21 καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, εἶπαν Εὖγε εὖγε, εἶδαν οἱ ὀφθαλμοὶ ἡμῶν.	*21. şi lărgit-au asupra mea gura lor, zis-au: Bine, bine! Văzut-au ochii noştri.*	**Ψλ34:21** Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, **εἶπον**· Εὖγε, εὖγε, **εἶδον** οἱ ὀφθαλμοὶ ἡμῶν.	21. Lărgit-au asupra mea gura lor, zis-au: Bine, bine! Văzut-au ochii noştri.
Ψλ34:22 εἶδες, Κύριε, μὴ παρασιωπήσῃς, Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ·	*22. Văzut-ai Doamne; să nu taci! Doamne, nu Te depărta de la mine!*	**Ψλ34:22** Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς· Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.	22. Văzut-ai, Doamne, să nu taci! Doamne, nu te depărta de la mine!
Ψλ34:23 ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου.	*23. Scoală-te, Doamne, ia aminte spre judecata mea, Dumnezeul meu şi Domnul meu, spre îndreptarea mea.*	**Ψλ34:23** Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου.	23. Scoală-Te, Doamne, şi ia aminte spre judecata mea, Dumnezeul meu şi Domnul meu, spre îndreptarea mea.
Ψλ34:24 κρῖνόν με	*24. Judecă-mă după*	**Ψλ34:24** Κρῖνόν με,	

κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι·	*dreptatea Ta, Doamne, Dumnezeul meu, şi să nu se bucure de mine;*	Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι.	24. Judecă-mă, Doamne, după dreptatea Ta, Doamne Dumnezeul meu, şi să nu se bucure de mine.
Ψλ34:25 μὴ εἴπαισαν ἐν καρδίαις αὐτῶν Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴπαισαν Κατεπίομεν αὐτόν.	*25. să nu zică întru inimile lor: Bine, bine este sufletului nostru; nici să zică: Înghiţitu-l-am pe dânsul.*	**Ψλ34:25** Μὴ **εἴποισαν** ἐν καρδίαις αὐτῶν· Εὖγε, εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ **εἴποιεν**· Κατεπίομεν αὐτόν.	25. Să nu zică întru inimile lor: Bine, bine este sufletului nostru; nici să zică: Înghiţitu-l-am pe dânsul.
Ψλ34:26 αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου, ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦν τες ἐπ' ἐμέ.	*26. Să se ruşineze şi să se înfrunte împreună cei ce se bucură de relele mele; îmbracă-se cu ruşine şi înfruntare cei ce grăiesc mari asupra mea.*	**Ψλ34:26** Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦν τες ἐπ' ἐμέ.	26. Să se ruşineze şi să se înfrunte împreună cei ce se bucură de relele mele; îmbracă-se cu ruşine şi înfruntare cei ce se laudă (grăiesc mari) asupra mea.
Ψλ34:27 ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου καὶ εἰπάτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.	*27. Să se bucure şi să se veselească cei ce voiesc dreptatea mea, şi să zică pururea: Slăvească-se (Mărească-se) Domnul, cei ce voiesc pacea robului Lui.*	**Ψλ34:27** Ἀγαλλιάσαι-ντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιο-σύνην μου, καὶ εἰπάτω-σαν **διαπαντός** Μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.	27. Să se bucure şi să se veselească cei ce voiesc dreptatea mea, şi să zică pururea: Mărească-se Domnul, cei ce voiesc pacea robului Lui.
Ψλ34:28 καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.	*28. Şi limba mea se va învăţa dreptatea Ta, toată ziua lauda Ta.*	**Ψλ34:28** Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.	28. Şi limba mea se va învăţa dreptatea Ta, toată ziua lauda Ta.
ΨΑΛΜΟΣ ΛΕ΄. Εἰς τὸ τέλος· τῷ δούλῳ Κυρίου τῷ Δαυῒδ.	*PSALMUL 35* *Întru sfârşit; lui David, robul Domnului.*	ΨΑΛΜΟΣ ΛΕ΄. Εἰς τὸ τέλος· τῷ παδὶ Κυρίου τῷ Δαυῒδ.	*PSALMUL 35* *Întru sfârşit; a lui David, copilul Domnului.*
Ψλ35:1 Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ ἔστιν φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ·	*1. Socoteşte călcătorul de lege ca să păcătuiască întru sine, nu este frica lui Dumnezeu înaintea ochilor lui;*	**Ψλ35:1** Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ, οὐκ **ἔστι** φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.	1. Socoteşte călcătorul de lege să păcătuiască întru sine, nu este frica lui Dumnezeu înaintea ochilor lui.
Ψλ35:2 ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.	*2. că a viclenit înaintea lui, ca să afle fărădelegea lui, şi să urască.*	**Ψλ35:2** Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.	2. Că a viclenit înaintea lui, ca să afle fărădelegea lui şi să urască.
Ψλ35:3 τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ ἐβουλήθη συνιέναι τοῦ ἀγαθῦναι·	*3. Graiurile gurii lui, fărădelege şi vicleşug; nu a vrut să priceapă ca să facă bine;*	**Ψλ35:3** Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ **ἠβουλήθη** συνιέναι τοῦ ἀγαθῦναι.	3. Graiurile gurii lui, fărădelege şi vicleşug; nu a vrut să priceapă ca să facă bine.

Ψλ35:4 ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, **τῇ** δὲ κακίᾳ οὐ προσώχθισεν.	*4. fărădelege a gândit întru aşternutul său; stătut-a lângă toată calea nu bună, şi răutatea n-a urât.*	**Ψλ35:4** Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ, παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ, κακίᾳ δὲ οὐ **προσώχθισε**.	4. Fărădelege a gândit întru aşternutul său; în toată calea bună n-a stătut, şi răutatea n-a urât.
Ψλ35:5 Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν·	*5. Doamne, în cer este mila Ta şi adevărul Tău până la nori;*	**Ψλ35:5** Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.	5. Doamne, în cer este mila Ta şi adevărul Tău până la nori.
Ψλ35:6 ἡ δικαιοσύνη σου ὡσεὶ ὄρη Θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή· ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε.	*6. dreptatea Ta ca munţii lui Dumnezeu; judecăţile Tale adânc mult; oamenii şi dobitoacele vei mântui, Doamne.*	**Ψλ35:6** Ἡ δικαιοσύνη σου **ὡς** ὄρη Θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή· ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε.	6. Dreptatea Ta ca munţii lui Dumnezeu, judecăţile Tale, adânc mare; oamenii şi dobitoacele vei mântui, Doamne.
Ψλ35:7 ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός· οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν.	*7. Că ai înmulţit mila Ta, Dumnezeule, şi fiii oamenilor în umbra aripilor Tale vor nădăjdui.*	**Ψλ35:7** Ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός· οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου **ἐλπιοῦσι**.	7. Cât ai înmulţit mila Ta, Dumnezeule, şi fiii oamenilor în umbra aripilor Tale vor nădăjdui.
Ψλ35:8 μεθυσθήσονται ἀπὸ πιότητος **τοῦ** οἴκου σου, καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς·	*8. Îmbăta-se-vor de grăsimea casei Tale, şi din izvorul desfătării Tale îi vei adăpa pe dânşii;*	**Ψλ35:8** Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.	8. Îmbăta-se-vor de grăsimea casei Tale, şi din izvorul desfătării Tale îi vei adăpa pe dânşii.
Ψλ35:9 ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.	*9. că la Tine este izvorul vieţii, întru lumina Ta vom vedea lumină.*	**Ψλ35:9** Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.	9. Că la Tine este izvorul vieţii, întru lumina Ta vom vedea lumină.
Ψλ35:10 παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσίν σε καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.	*10. Tinde mila Ta celor ce Te cunosc pe Tine, şi dreptatea Ta celor drepţi la inimă.*	**Ψλ35:10** Παράτεινον τὸ ἔλεός σου τοῖς **γινώσκουσί** σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.	10. Tinde mila Ta celor ce Te cunosc pe Tine, şi dreptatea Ta celor drepţi la inimă.
Ψλ35:11 μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με.	*11. Să nu-mi vină mie piciorul mândriei, şi mâna păcătoşilor să nu mă clatine.*	**Ψλ35:11** Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ **ἁμαρτωλοῦ** μὴ σαλεύσαι με.	11. Să nu-mi vină mie piciorul mândriei, şi mâna păcătosului să nu mă clatine.
Ψλ35:12 ἐκεῖ ἔπεσον οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι.	*12. Acolo au căzut cei ce lucrează fărădelegea; scosu-s-au afară şi nu vor putea să stea.*	**Ψλ35:12** Ἐκεῖ ἔπεσον **πάντες** οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι. Δόξα...	12. Acolo au căzut toţi cei ce lucrează fărădelegea, izgoniţi au fost şi nu vor putea să stea. Slavă…
ΨΑΛΜΟΣ ΛΣΤ΄. Τοῦ Δαυΐδ.	*PSALMUL 36 A lui David.*	ΨΑΛΜΟΣ ΛΣΤ΄. Τῷ Δαυΐδ.	*PSALMUL 36 Al lui David.*
Ψλ36:1 Μὴ παραζήλου	*1. Nu râvni celor ce*	**Ψλ36:1** Μὴ παραζήλου	1. Nu râvni celor ce

ἐν πονηρευομένοις μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν·	*viclenesc, nici nu râvni celor ce fac fărădelege,*	ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.	viclenesc, nici nu urma (râvni) celor ce fac fărădelege.
Ψλ36:2 ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.	*2. căci ca iarba curând se vor usca şi ca verdeaţa buruienii degrab vor cădea.*	**Ψλ36:2** Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.	2. Căci ca iarba curând se vor usca, şi ca verdeaţa buruienii degrab vor cădea.
Ψλ36:3 ἔλπισον ἐπὶ Κύριον καὶ ποίει χρηστότητα καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς·	*3. Nădăjduieşte spre Domnul, şi fă bunătate, şi locuieşte pământul, şi te vei paşte întru bogăţia lui;*	**Ψλ36:3** Ἔλπισον ἐπὶ Κύριον καὶ ποίει χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.	3. Nădăjduieşte spre Domnul şi fă bunătate, şi locuieşte pământul, şi te vei paşte întru bogăţia lui.
Ψλ36:4 κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.	*4. desfătează-te în Domnul şi-ţi va da ţie cererile inimii tale.*	**Ψλ36:4** Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.	4. Desfătează-te în Domnul, şi-ţi va da ţie cererile inimii tale.
Ψλ36:5 ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει	*5. Descoperă spre Domnul calea ta şi nădăjduieşte întru Dânsul, şi El va face*	**Ψλ36:5** Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει.	5. Descoperă spre Domnul calea Ta, şi nădăjduieşte întru Dânsul, şi El va face.
Ψλ36:6 καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν.	*6. şi va scoate ca lumina dreptatea ta şi judecata ta ca amiazăzi.*	**Ψλ36:6** Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ **κρῖμά** σου ὡς μεσημβρίαν.	6. Şi va scoate ca lumina dreptatea ta, şi judecata ta ca lumina de amiază.
Ψλ36:7 ὑποτάγηθι τῷ Κυρίῳ καὶ ἱκέτευσον αὐτόν· μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας.	*7. Supune-te Domnului şi-L roagă pe Dânsul; nu râvni celui ce sporeşte în calea sa, omului ce face călcare de lege.*	**Ψλ36:7** Ὑποτάγηθι τῷ Κυρίῳ καὶ ἱκέτευσον αὐτόν· μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας.	7. Supune-te Domnului, şi-L roagă pe Dânsul; nu râvni celui ce sporeşte în calea sa, omului ce face fărădelegea.
Ψλ36:8 παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν, μὴ παραζήλου ὥστε πονηρεύεσθαι·	*8. Părăseşte-te de iuţime şi lasă mânia, nu râvni ca să vicleneşti;*	**Ψλ36:8** Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν, μὴ παραζήλου ὥστε πονηρεύεσθαι.	8. Părăseşte-te de iuţime şi lasă mânia; nu râvni ca să vicleneşti.
Ψλ36:9 ὅτι οἱ πονηρευόμενοι ἐξολεθρευθήσονται, οἱ δὲ ὑπομένοντες τὸν Κύριον αὐτοὶ κληρονομήσουσιν γῆν.	*9. că cei ce viclenesc, de tot vor pieri; iar cei ce aşteaptă pe Domnul, aceia vor moşteni pământul.*	**Ψλ36:9** Ὅτι οἱ πονηρευόμενοι ἐξολεθρευθήσονται, οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ **κληρονομήσουσι** γῆν.	9. Că cei ce viclenesc de tot vor pieri; iar cei ce aşteaptă pe Domnul, aceia vor moşteni pământul.
Ψλ36:10 καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς·	*10. Şi încă puţin, şi nu va fi păcătosul; şi vei căuta locul lui, şi nu-l vei afla;*	**Ψλ36:10** Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.	10. Şi încă puţin, şi nu va fi păcătosul; şi vei căuta locul lui, şi nu-l vei afla.
Ψλ36:11 οἱ δὲ πραεῖς	*11. iar cei blânzi vor*	**Ψλ36:11** Οἱ δὲ πραεῖς	11. Iar cei blânzi vor

κληρονομήσουσιν γῆν καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.	*moşteni pământul şi se vor desfăta întru mulţimea păcii.*	**κληρονομήσουσι** γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.	moşteni pământul, şi se vor desfăta întru mulţimea păcii.
Ψλ36:12 παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ·	*12. Pândi-va păcătosul pe cel drept, şi va scrâşni asupra lui cu dinţii săi;*	Ψλ36:12 Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.	12. Pândi-va păcătosul pe cel drept, şi va scrâşni asupra lui cu dinţii săi.
Ψλ36:13 ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν, ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.	*13. iar Domnul va râde de el, că mai-nainte vede că va veni ziua lui.*	Ψλ36:13 Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν, ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.	13. Iar Domnul va râde de el, că mai-nainte vede că va veni ziua lui.
Ψλ36:14 ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ·	*14. Sabie au smuls păcătoşii, întins-au arcul său ca să surpe pe sărac şi pe sărman, ca să junghie pe cei drepţi la inimă;*	Ψλ36:14 Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ.	14. Sabie au smuls păcătoşii, întins-au arcul lor ca să surpe pe sărac şi pe sărman, ca să junghie pe cei drepţi la inimă.
Ψλ36:15 ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείησαν.	*15. sabia lor să intre în inimile lor, şi arcele lor să se zdrobească.*	Ψλ36:15 Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν, καὶ τὰ τόξα αὐτῶν **συντριβείη**.	15. Sabia lor să intre în inimile lor, şi arcurile lor să se zdrobească.
Ψλ36:16 κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν·	*16. Mai bun este puţinul celui drept, decât bogăţia multă a păcătoşilor;*	Ψλ36:16 Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.	16. Mai bun este puţinul celui drept, decât bogăţia cea multă a păcătoşilor.
Ψλ36:17 ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους Κύριος.	*17. că braţele păcătoşilor se vor zdrobi, iar Domnul sprijineşte pe cei drepţi.*	Ψλ36:17 Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους Κύριος.	17. Că braţele păcătoşilor se vor zdrobi, iar Domnul sprijineşte pe cei drepţi.
Ψλ36:18 γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται·	*18. Cunoaşte Domnul căile celor fără prihană, şi moştenirea lor în veac va fi.*	Ψλ36:18 Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται.	18. Cunoaşte Domnul căile celor fără prihană, şi moştenirea lor în veac va fi.
Ψλ36:19 οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.	*19. Nu se vor ruşina în vremea cea rea, şi în zilele foametei se vor sătura.*	Ψλ36:19 Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.	19. Nu se vor ruşina în vremea cea rea, şi în zilele foametei se vor sătura.
Ψλ36:20 ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον.	*20. Că păcătoşii vor pieri, iar vrăjmaşii Domnului îndată ce s-au slăvit ei şi s-au înălţat, stingându-se ca fumul s-au stins.*	Ψλ36:20 Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον.	20. Că păcătoşii vor pieri, iar vrăjmaşii Domnului, îndată ce s-au slăvit şi s-au înălţat, stingându-se, ca fumul s-au stins.

Ψλ36:21 δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτείσει, ὁ δὲ δίκαιος οἰκτίρει καὶ διδοῖ·	*21. Împrumută păcătosul şi nu va plăti, iar dreptul se îndură şi dă;*	**Ψλ36:21** Δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτείσει, ὁ δὲ δίκαιος οἰκτίρει καὶ **δίδωσιν**.	21. Împrumută păcătosul şi nu va plăti, iar dreptul se îndură şi dă.
Ψλ36:22 ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολεθρευθήσονται.	*22. că cei ce-L binecuvântează pe El vor moşteni pământul; iar cei ce-L blestemă vor pieri.*	**Ψλ36:22** Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολεθρευθήσονται.	22. Că cei ce-L binecuvântează pe El vor moşteni pământul; iar cei ce-L blestemă vor pieri.
Ψλ36:23 παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει·	*23. De la Domnul paşii omului se îndreptează, şi calea lui o va voi;*	**Ψλ36:23** Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει **σφόδρα**.	23. De la Domnul paşii omului se îndreptează, şi calea lui o va voi foarte.
Ψλ36:24 ὅταν πέσῃ, οὐ καταραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.	*24. când va cădea nu se va zdruncina, că Domnul întăreşte mâna lui.*	**Ψλ36:24** Ὅταν πέσῃ, οὐ καταραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.	24. Când va cădea, nu se va zdruncina, că Domnul întăreşte mâna lui.
Ψλ36:25 νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους·	*25. Tânăr am fost şi am şi îmbătrânit şi nu am văzut pe cel drept părăsit, nici sămânţa lui cerând pâine;*	**Ψλ36:25** Νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.	25. Tânăr am fost, şi am îmbătrânit, şi nu am văzut pe cel drept părăsit, nici sămânţa lui cerând pâine.
Ψλ36:26 ὅλην τὴν ἡμέραν ἐλεᾷ καὶ δανείζει, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.	*26. toată ziua miluieşte şi împrumută, şi sămânţa lui întru binecuvântare va fi.*	**Ψλ36:26** Ὅλην τὴν ἡμέραν **ἐλεεῖ** καὶ δανείζει **ὁ δίκαιος**, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.	26. Toată ziua miluieşte şi împrumută dreptul, şi seminţia lui întru binecuvântare va fi.
Ψλ36:27 ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος·	*27. Fereşte-te de rău şi fă bine, şi locuieşte în veacul veacului;*	**Ψλ36:27** Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.	27. Fereşte-te de rău şi fă bine, şi locuieşte în veacul veacului.
Ψλ36:28 ὅτι Κύριος ἀγαπᾷ κρίσιν καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται. ἄνομοι δὲ ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολεθρευθήσεται·	*28. că Domnul iubeşte judecata, şi nu va părăsi pe cei cuvioşi ai Săi, în veac se vor păzi. Iar cei fărădelege se vor prigoni, şi seminţia necinstitorilor de tot se va pierde;*	**Ψλ36:28** Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται. **Ψλ36:29** Ἄνομοι δὲ ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολεθρευθήσεται.	28. Că Domnul iubeşte judecata, şi nu va părăsi pe cei cuvioşi ai Săi, în veac se vor păzi. 29. Iar cei fărădelege se vor prigoni, iar seminţia necinstitorilor de tot se va pierde.
Ψλ36:29 δίκαιοι δὲ κληρονομήσουσι γῆν καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.	*29. iar drepţii vor moşteni pământul, şi se vor sălăşlui în veacul veacului pe dânsul.*	**Ψλ36:30** Δίκαιοι δὲ κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.	30. Iar drepţii vor moşteni pământul, şi se vor sălăşlui în veacul veacului pe dânsul.
Ψλ36:30 στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ	*30. Gura dreptului va deprinde înţelepciune, şi*	**Ψλ36:31** Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ	31. Gura dreptului va deprinde înţelepciune, şi

γλῶσσα αὐτοῦ λαλήσει κρίσιν·	*limba lui va grăi judecată;*	γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.	limba lui va grăi judecată.
Ψλ36:31 ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.	*31. legea Dumnezeului lui în inima lui, şi nu se vor poticni paşii lui.*	**Ψλ36:32** Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.	32. Legea Dumnezeului lui în inima lui, şi nu se vor poticni paşii lui.
Ψλ36:32 κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν,	*32. Pândeşte păcătosul pe cel drept şi caută să-l omoare pe el,*	**Ψλ36:33** Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν.	33. Pândeşte păcătosul pe cel drept, şi caută să-l omoare pe el.
Ψλ36:33 ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ οὐδὲ μὴ καταδικάσηται αὐτόν, ὅταν κρίνηται αὐτῷ.	*33. iar Domnul nu-l va lăsa pe el în mâinile lui, nici nu-l va osândi, când se va judeca lui.*	**Ψλ36:34** Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, **οὐδ’ οὐ** μὴ καταδικάσηται αὐτόν, ὅταν κρίνηται αὐτῷ.	34. Iar Domnul nu-l va lăsa pe el în mâinile lui, nici nu-l va osândi când se va judeca cu el.
Ψλ36:34 ὑπόμεινον τὸν Κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν· ἐν τῷ ἐξολεθρεύεσθαι ἁμαρτωλοὺς ὄψῃ.	*34. Aşteaptă pe Domnul şi păzeşte calea Lui, şi te va înălţa ca să moşteneşti pământul; când vor pieri păcătoşii vei vedea.*	**Ψλ36:35** Ὑπόμεινον τὸν Κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν· ἐν τῷ ἐξολεθρεύεσθαι ἁμαρτωλοὺς ὄψῃ.	35. Aşteaptă pe Domnul şi păzeşte calea Lui, şi te va înălţa ca să moşteneşti pământul; când vor pieri păcătoşii vei vedea.
Ψλ36:35 εἶδον ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου·	*35. Văzut-am pe cel necinstitor prea înălţându-se, şi ridicându-se ca cedrii Libanului;*	**Ψλ36:36** Εἶδον **τὸν** ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου.	36. Văzut-am pe cel necinstitor prea înălţându-se şi ridicându-se ca cedrii Libanului.
Ψλ36:36 καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.	*36. şi am trecut, şi iată, nu era; şi l-am căutat pe el, şi nu s-a aflat locul lui.*	**Ψλ36:37** Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.	37. Şi am trecut, şi iată, nu era; şi l-am căutat pe el, şi nu s-a aflat locul lui.
Ψλ36:37 φύλασσε ἀκακίαν καὶ ἰδὲ εὐθύτητα, ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ·	*37. Păzeşte nerăutatea şi vezi dreptatea, că este rămăşiţă omului făcător de pace;*	**Ψλ36:38** Φύλασσε ἀκακίαν καὶ **ἴδε** εὐθύτητα, ὅτι **ἐστίν** ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.	38. Păzeşte nerăutatea şi vezi dreptatea, că este rămăşiţă omului făcător de pace.
Ψλ36:38 οἱ δὲ παράνομοι ἐξολεθρευθήσονται ἐπὶ τὸ αὐτό, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολεθρευθήσονται.	*38. iar cei fărădelege vor pieri deodată; rămăşiţele necinstitorilor desăvârşit vor pieri.*	**Ψλ36:39** Οἱ δὲ παράνομοι ἐξολεθρευθήσονται ἐπὶ τὸ αὐτό, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολεθρευθήσονται.	39. Iar cei fărădelege desăvârşit împreună se vor pierde; rămăşiţele necinstitorilor desăvârşit se vor pierde.
Ψλ36:39 σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως,	*39. Iar mântuirea drepţilor de la Domnul, şi scutitorul (apărătorul) lor este în vremea necazului,*	**Ψλ36:40** Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως.	40. Iar mântuirea drepţilor de la Domnul, şi apărătorul lor este în vremea necazului.

Ψλ36:40 καὶ βοηθήσει αὐτοῖς Κύριος καὶ ῥύσεται αὐτοὺς καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν καὶ σώσει αὐτούς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.	*40. şi le va ajuta lor Domnul, şi-i va izbăvi pe dânşii, şi-i va scoate pe ei de la cei păcătoşi, şi-i va mântui pe ei, că au nădăjduit spre Dânsul.*	**Ψλ36:41** Καὶ βοηθήσει αὐτοῖς Κύριος καὶ ῥύσεται αὐτοὺς, καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν καὶ σώσει αὐτούς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. Δόξα...	41. Şi le va ajuta lor Domnul, şi-i va izbăvi pe dânşii, şi-i va scoate pe ei de la cei păcătoşi, şi-i va mântui pe ei, că au nădăjduit spre Dânsul. Slavă…
ΨΑΛΜΟΣ ΛΖ΄. Ψαλμὸς τῷ Δαυΐδ· εἰς ἀνάμνησιν περὶ σαββάτου.	*PSALMUL 37* *Psalm al lui David; întru pomenire pentru sâmbătă.*	ΚΑΘΙΣΜΑ ΕΚΤΟΝ ΨΑΛΜΟΣ ΛΖ΄. Ψαλμὸς τῷ Δαυΐδ, εἰς ἀνάμνησιν περὶ **τοῦ** Σαββάτου.	Catisma a şasea *PSALMUL 37* *Psalm al lui David, întru pomenire pentru sâmbătă.*
Ψλ37:1 Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.	*1. Doamne, nu cu mânia Ta să mă mustri pe mine, nici cu urgia Ta să mă cerţi.*	**Ψλ37:1** Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.	1. Doamne, nu cu mânia Ta să mă mustri pe mine, nici cu urgia Ta să mă cerţi;
Ψλ37:2 ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήρισας ἐπ' ἐμὲ τὴν χεῖρά σου·	*2. Că săgeţile Tale s-au înfipt în mine, şi ai întărit peste mine mâna Ta;*	**Ψλ37:2** Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ **ἐπεστήριξας** ἐπ' ἐμὲ τὴν χεῖρά σου.	2. Că săgeţile Tale s-au înfipt în mine, şi ai întărit peste mine mâna Ta.
Ψλ37:3 οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.	*3. nu este vindecare în trupul meu de la faţa mâniei (urgiei) Tale, nu este pace în oasele mele de către faţa păcatelor mele.*	**Ψλ37:3** Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.	3. Nu este vindecare în trupul meu de la faţa mâniei Tale, nu este pace în oasele mele de către faţa păcatelor mele.
Ψλ37:4 ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.	*4. Că fărădelegile mele au covârşit capul meu, ca o sarcină grea s-au îngreuiat peste mine.*	**Ψλ37:4** Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.	4. Că fărădelegile mele au covârşit capul meu, ca o sarcină grea apăsat-au peste mine.
Ψλ37:5 προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου·	*5. Împuţitu-s-au şi au putrezit rănile mele de către faţa nebuniei mele;*	**Ψλ37:5** Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.	5. Împuţit-s-au şi au putrezit rănile mele de către faţa nebuniei mele.
Ψλ37:6 ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.	*6. întristatu-m-am şi m-am gârbovit până în sfârşit, toată ziua mâhnindu-mă umblam.*	**Ψλ37:6** Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.	6. Întristatu-m-am şi m-am gârbovit până în sfârşit, toată ziua mâhnindu-mă umblam.
Ψλ37:7 ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμῶν, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου·	*7. Că şalele mele s-au umplut de ocări, şi nu este vindecare în trupul meu;*	**Ψλ37:7** Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμῶν, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.	7. Că şalele mele s-au umplut de ocări, şi nu este vindecare în trupul meu.
Ψλ37:8 ἐκακώθην καὶ	*8. necăjitu-m-am şi m-*	**Ψλ37:8** Ἐκακώθην καὶ	8. Necăjitu-m-am şi m-

ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.	*am smerit foarte, răcnit-am din suspinarea inimii mele.*	ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.	am smerit foarte, răcnit-am din suspinarea inimii mele.
Ψλ37:9 Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἐκρύβη.	*9. Doamne, înaintea Ta este toată dorirea mea; şi suspinul meu de la Tine nu s-a ascuns.*	**Ψλ37:9** Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ **ἀπεκρύβη**.	9. Doamne, înaintea Ta este toată dorirea mea, şi suspinul meu de la Tine nu s-a ascuns.
Ψλ37:10 ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέν με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστιν μετ' ἐμοῦ.	*10. Inima mea s-a tulburat, părăsitu-m-a vârtutea mea şi lumina ochilor mei, şi aceasta nu este cu mine.*	**Ψλ37:10** Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέν με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ **ἔστι** μετ' ἐμοῦ.	10. Inima mea s-a tulburat, părăsitu-m-a vârtutea mea, şi lumina ochilor mei, şi aceasta nu este cu mine.
Ψλ37:11 οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν·	*11. Prietenii mei şi vecinii mei, în preajma mea s-au apropiat şi au stătut, şi cei de-aproape ai mei departe au stat;*	**Ψλ37:11** Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.	11. Prietenii mei şi vecinii mei în preajma mea s-au apropiat şi au stătut, şi cei de-aproape ai mei departe au stat.
Ψλ37:12 καὶ ἐξεβιάσαντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.	*12. şi se sileau cei ce căutau sufletul meu, şi cei ce căutau cele rele mie grăiau deşertăciuni şi vicleşuguri toată ziua cugetau.*	**Ψλ37:12** Καὶ ἐξεβιάσαντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.	12. Şi se sileau cei ce căutau sufletul meu, şi cei ce căutau cele rele mie grăiau deşertăciuni, şi vicleşuguri toată ziua cugetau.
Ψλ37:13 ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ	*13. Iar eu ca un surd nu auzeam şi ca un mut ce nu-şi deschide gura sa*	**Ψλ37:13** Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.	13. Iar eu ca un surd nu auzeam, şi ca un mut ce nu-şi deschide gura sa.
Ψλ37:14 καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.	*14. şi m-am făcut ca un om ce nu aude şi nu are în gura lui mustrări.*	**Ψλ37:14** Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.	14. Şi m-am făcut ca un om ce nu aude, şi nu are în gura lui mustrări.
Ψλ37:15 ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.	*15. Că spre Tine, Doamne, am nădăjduit, Tu vei auzi, Doamne, Dumnezeul meu.*	**Ψλ37:15** Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.	15. Că spre Tine, Doamne, am nădăjduit; Tu vei auzi, Doamne, Dumnezeul meu.
Ψλ37:16 ὅτι εἶπα Μήποτε ἐπιχαρῶσίν μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.	*16. Că am zis: Nu cândva să se bucure de mine vrăjmaşii mei; şi când s-au clătinat picioarele mele asupra mea mari au grăit.*	**Ψλ37:16** Ὅτι **εἶπον**· Μήποτε ἐπιχαρῶσίν μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.	16. Că am zis: Nu cândva să se bucure de mine vrăjmaşii mei, şi când s-au clătinat picioarele mele, asuprea mea mari au grăit.
Ψλ37:17 ὅτι ἐγὼ εἰς	*17. Că eu spre bătăi*	**Ψλ37:17** Ὅτι ἐγὼ εἰς	17. Că eu spre bătăi gata

μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ παντός.	*gata sunt, şi durerea mea înaintea mea este pururea.*	μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ παντός.	sunt, şi durerea mea înaintea mea este pururi.
Ψλ37:18 ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.	*18. Că fărădelegea mea eu voi vesti, şi mă voi îngriji pentru păcatul meu.*	**Ψλ37:18** Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.	18. Că fărădelegea mea eu voi vesti, şi mă voi îngriji pentru păcatul meu.
Ψλ37:19 οἱ δὲ ἐχθροί μου ζῶσιν καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως·	*19. Iar vrăjmaşii mei trăiesc şi s-au întărit decât mine, şi s-au înmulţit cei ce mă urăsc fără dreptate;*	**Ψλ37:19** Οἱ δὲ ἐχθροί μου **ζῶσι** καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.	19. Iar vrăjmaşii mei trăiesc, şi s-au întărit mai mult decât mine, şi s-au înmulţit cei ce mă urăsc pe nedrept.
Ψλ37:20 οἱ ἀνταποδιδόντες κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην.	*20. cei ce răsplătesc rele pentru bune mă cleveteau, căci urmam dreptatea.*	**Ψλ37:20** Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον **ἀγαθωσύνην**.	20. Cei ce-mi răsplătesc mie rele pentru bune mă cleveteau, căci urmam bunătatea.
Ψλ37:21 μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ·	*21. Nu mă lăsa, Doamne Dumnezeul meu, nu te depărta de la mine;*	**Ψλ37:21** Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.	21. Nu mă lăsa, Doamne; Dumnezeul meu, nu Te depărta de la mine.
Ψλ37:22 πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.	*22. ia aminte spre ajutorul meu, Doamne al mântuirii mele.*	**Ψλ37:22** Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.	22. Ia aminte spre ajutorul meu, Doamne al mântuirii mele.
ΨΑΛΜΟΣ ΛΗʹ. Εἰς τὸ τέλος, τῷ Ιδιθουν· ᾠδὴ τῷ Δαυΐδ.	*PSALMUL 38* *Întru sfârşit, lui Iditum, cântarea lui David.*	ΨΑΛΜΟΣ ΛΗʹ. Εἰς τὸ τέλος, τῷ Ιδιθουν· ᾠδὴ τῷ Δαυΐδ.	*PSALMUL 38* *Întru sfârşit, lui Iditum, cântarea lui David.*
Ψλ38:1 Εἶπα· Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου· ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.	*1. Zis-am: păzi-voi căile mele, ca să nu păcătuiesc cu limba mea; pus-am gurii mele pază când a stătut păcătosul împotriva mea.*	**Ψλ38:1** Εἶπα· Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου. **Ψλ38:2** Ἐθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.	1. Zis-am: păzi-voi căile mele, ca să nu păcătuiesc cu limba mea. 2. Pus-am gurii mele pază, când a stătut păcătosul împotriva mea.
Ψλ38:2 ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.	*2. Amuţit-am şi m-am smerit şi am tăcut din bunătăţi, şi durerea mea s-a înnoit.*	**Ψλ38:3** Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.	3. Amuţit-am şi m-am smerit şi am tăcut din bunătăţi, şi durerea mea s-a înnoit.
Ψλ38:3 ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.	*3. Înfierbântatu-s-a inima mea înlăuntrul meu, şi în cugetul meu se va aprinde foc. Grăit-*	**Ψλ38:4** Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.	4. Înfierbântatu-s-a inima mea înlăuntrul meu, şi în cugetul meu se va aprinde foc.

ἐλάλησα ἐν γλώσσῃ μου·	*am cu limba mea:*	**Ψλ38:5** Ἐλάλησα ἐν γλώσσῃ μου· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.	5. Grăit-am cu limba mea: Cunoscut fă-mi, Doamne, sfârşitul meu, şi numărul zilelor mele care este? Ca să ştiu de ce sunt lipsit eu.
Ψλ38:4 Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.	*4. Cunoscut fă-mi, Doamne, sfârşitul meu şi numărul zilelor mele, care este, ca să ştiu de ce sunt lipsit eu.*		
Ψλ38:5 ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.	*5. Iată cu palme măsurate ai pus zilele mele, şi statul meu ca nimic înaintea Ta; însă toate sunt deşertăciune, tot omul ce viază.*	**Ψλ38:6** Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.	6. Iată, cu palme măsurate ai pus zilele mele, şi statul meu ca nimic înaintea Ta; însă toate sunt deşertăciune, tot omul ce viază.
Ψλ38:6 μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσονται· θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.	*6. Însă în chip trece omul, însă în zadar se turbură; strânge comori, şi nu ştie cui le adună pe ele.*	**Ψλ38:7** Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσονται· θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.	7. Însă în chip (pe)trece omul, însă în zadar se tulbură; strânge comori, şi nu ştie cui le adună pe ele.
Ψλ38:7 καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.	*7. Şi acum, cine este răbdarea mea? Au nu este Domnul? Şi statul meu de la Tine este.*	**Ψλ38:8** Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.	8. Şi acum, cine este răbdarea mea? Au nu este Domnul? Şi statul meu de la Tine este.
Ψλ38:8 ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὄνειδος ἄφρονι ἔδωκάς με.	*8. De toate fărădelegile mele izbăveşte-mă, ocară celui fără de minte m-ai dat.*	**Ψλ38:9** Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με, ὄνειδος ἄφρονι ἔδωκάς με.	9. De toate fărădelegile mele izbăveşte-mă, ocară celui fără de minte m-ai dat.
Ψλ38:9 ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με.	*9. Amuţit-am, şi nu am deschis gura mea, că Tu ai făcut.*	**Ψλ38:10** Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ **ἐποίησας**.	10. Amuţit-am, şi nu am deschis gura mea, că Tu ai făcut.
Ψλ38:10 ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου· ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.	*10. Depărtează de la mine bătăile Tale; de tăria mâinii Tale eu m-am lipsit.*	**Ψλ38:11** Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου· ἀπὸ **γὰρ** τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.	11. Depărtează de la mine bătăile Tale; că de la tăria mâinii Tale eu m-am lipsit.
Ψλ38:11 ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ· πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος.	*11. Întru mustrări, pentru fărădelege, ai pedepsit pe om şi ai subţiat ca un păianjen sufletul lui; însă în deşert se turbură tot omul.*	**Ψλ38:12** Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ· πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος.	12. Întru mustrări pentru fărădelege ai pedepsit pe om, şi ai subţiat ca un păianjen sufletul lui; însă în deşert se tulbură tot omul.
Ψλ38:12 εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου ἐνώτισαι· τῶν	*12. Auzi rugăciunea mea, Doamne, şi cererea mea ascultă; lacrimile mele să nu le*	**Ψλ38:13** Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου, ἐνώτισαι τῶν	13. Auzi rugăciunea mea, Doamne, şi cererea mea, ascultă lacrimile mele.

δακρύων μου μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες μου.	*treci cu tăcerea, că nemernic sunt eu la Tine, şi străin, ca toţi părinţii mei.*	δακρύων μου. Ψλ38:14 Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.	14. Să nu le treci cu tăcerea, că nemernic sunt eu la Tine şi străin, ca toţi părinţii mei.
Ψλ38:13 ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι μὴ ὑπάρξω.	*13. Slăbeşte-mă, ca să mă odihnesc, mai înainte de a mă duce şi mai mult încă nu voi fi.*	Ψλ38:15 Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι **οὐ** μὴ ὑπάρξω.	15. Slăbește-mă, ca să mă odihnesc mai-nainte de a mă duce, şi mai mult încă nu voi fi.
ΨΑΛΜΟΣ ΛΘʹ. Εἰς τὸ τέλος· τῷ Δαυῒδ ψαλμός.	*PSALMUL 39* *Întru sfârşit; al lui David psalm.*	ΨΑΛΜΟΣ ΛΘʹ. Εἰς τὸ τέλος· ψαλμός τῷ Δαυῒδ.	*PSALMUL 39* *Întru sfârşit; psalm al lui David.*
Ψλ39:1 Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχεν μοι καὶ εἰσήκουσεν τῆς δεήσεώς μου	*1. Aşteptând am aşteptat pe Domnul, şi a căutat spre mine şi a auzit rugăciunea (cererea) mea*	Ψλ39:1 Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχεν μοι, καὶ **εἰσήκουσε** τῆς δεήσεώς μου.	1. Aşteptând, am aşteptat pe Domnul, şi a căutat spre mine, şi a auzit rugăciunea mea.
Ψλ39:2 καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνεν τὰ διαβήματά μου	*2. şi m-a scos din groapa ticăloşiei şi din tina noroiului şi a pus pe piatră picioarele mele şi a îndreptat paşii mei*	Ψλ39:2 Καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος. Ψλ39:3 Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ **κατηύθυνε** τὰ διαβήματά μου.	2. Şi m-a scos din groapa ticăloşiei şi din tina noroiului. 3. Şi a pus pe piatră picioarele mele, şi a îndreptat paşii mei.
Ψλ39:3 καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν· ὄψονται πολλοὶ καὶ φοβηθήσονται καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.	*3. şi a pus în gura mea cântare nouă, cântarea Dumnezeului nostru; vedea-vor mulţi şi se vor teme şi vor nădăjdui spre Domnul.*	Ψλ39:4 Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν. Ψλ39:5 Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.	4. Şi a pus în gura mea cântare nouă, cântare a Dumnezeului nostru. 5. Vedea-vor mulţi şi se vor teme, şi vor nădăjdui spre Domnul.
Ψλ39:4 μακάριος ἀνήρ, οὗ ἐστιν τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ καὶ οὐκ ἐνέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.	*4. Fericit bărbatul a cărui nădejde este numele Domnului şi nu a privit la deşertăciuni şi nebunii mincinoase.*	Ψλ39:6 Μακάριος ἀνήρ, οὗ **ἐστι** τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐνέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.	6. Fericit bărbatul a cărui nădejde este numele Domnului, şi n-a privit la deşertăciuni şi nebunii mincinoase.
Ψλ39:5 πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστιν τίς ὁμοιωθήσεταί σοι· ἀπήγγειλα καὶ ἐλάλησα,	*5. Multe ai făcut Tu, Doamne Dumnezeul meu, minunile Tale, şi la gândurile Tale nu este cine să se asemene Ţie; vestit-am şi am grăit, înmulţitu-s-au peste*	Ψλ39:7 Πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ **ἔστι** τίς ὁμοιωθήσεταί σοι.	7. Multe ai făcut, Tu, Doamne Dumnezeul meu, minunile Tale, şi la gândurile Tale nu este cine să se asemene Ţie.

ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.	*număr.*	**Ψλ39:8** Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.	8. Vestit-am şi am grăit; înmulţitu-s-au peste număr.
Ψλ39:6 θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὠτία δὲ κατηρτίσω μοι· ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας.	*6. Jertfă şi prinos nu ai voit, iar urechi Mi-ai săvârşit; arderi de tot şi pentru păcat n-ai căutat.*	**Ψλ39:9** Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, **σῶμα** δὲ κατηρτίσω μοι· **ὁλοκαυτώματα** καὶ περὶ ἁμαρτίας οὐκ **ἐζήτησας**.	9. Jertfă şi prinos n-ai voit, dar trup Mi-ai întocmit; arderi de tot şi jertfă pentru păcat n-ai căutat.
Ψλ39:7 τότε εἶπον Ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ·	*7. Atunci am zis: iată, vin, în capul cărţii scris este pentru Mine;*	**Ψλ39:10** Τότε εἶπον· Ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ.	10. Atunci am zis: Iată, vin, în capul cărţii scris este pentru Mine.
Ψλ39:8 τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἐβουλήθην καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.	*8. ca să fac voia Ta, Dumnezeul meu, am voit, şi legea Ta în mijlocul pântecelui meu.*	**Ψλ39:11** Τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, **ἠβουλήθην**, καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.	11. Ca să fac voia Ta, Dumnezeul Meu, am voit, şi legea Ta în mijlocul pântecului Meu.
Ψλ39:9 εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ· ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· Κύριε, σὺ ἔγνως.	*9. Bine am vestit dreptatea întru adunare mare; iată, buzele mele nu le voi opri; Doamne, Tu ai cunoscut.*	**Ψλ39:12** Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ· ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε, σὺ ἔγνως.	12. Bine am vestit dreptatea întru adunare (în Biserica) mare; iată, buzele mele nu le voi opri, Doamne, Tu ai cunoscut.
Ψλ39:10 τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα, οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.	*10. Dreptatea Ta nu am ascuns în inima mea, adevărul Tău şi mântuirea Ta am spus, nu am ascuns mila Ta şi adevărul Tău de către adunare multă.*	**Ψλ39:13** Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα. **Ψλ39:14** Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.	13. Dreptatea Ta nu am ascuns în inima mea, adevărul Tău şi mântuirea Ta am spus. 14. N-am ascuns mila Ta şi adevărul Tău de către adunare multă.
Ψλ39:11 σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντελάβοντό μου.	*11. Iar Tu, Doamne, să nu depărtezi îndurările Tale de la Mine; mila Ta şi adevărul Tău pururea să Mă sprijinească.*	**Ψλ39:15** Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ· τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντελάβοντό μου.	15. Iar Tu, Doamne, să nu depărtezi îndurările Tale de la Mine; mila Ta şi adevărul Tău pururi să Mă sprijinească.
Ψλ39:12 ὅτι περιέσχον με κακά, ὧν οὐκ ἔστιν ἀριθμός, κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν· ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου,	*12. Că M-au împresurat rele, cărora nu este număr, apucatu-m-au fărădelegile mele, şi nu am putut să văd; înmulţitu-s-au mai mult decât perii capului meu,*	**Ψλ39:16** Ὅτι περιέσχον με κακά, ὧν οὐκ ἔστιν ἀριθμός, κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. **Ψλ39:17** Ἐπληθύνθησαν ὑπὲρ	16. Că M-au împresurat rele, cărora nu este număr; ajunsu-m-au fărădelegile mele, şi nu am putut să văd. 17. Înmulţitu-s-au mai mult decât perii capului

καὶ ἡ καρδία μου ἐγκατέλιπέν με.	*şi inima mea m-a părăsit.*	τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου **ἐγκατέλιπέ** με.	meu, şi inima mea m-a părăsit.
Ψλ39:13 εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με· Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες. **Ψλ39:14** καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν, ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ ἐντραπείησαν οἱ θέλοντές μοι κακά,	*13. Binevoieşte, Doamne, ca să mă izbăveşti; Doamne, ca să-mi ajuţi mie ia aminte.* *14. Să se ruşineze şi să se înfrunte împreună cei ce caută sufletul meu ca să-l scoată pe dânsul, să se întoarcă înapoi şi să se ruşineze cei ce-mi voiesc mie rele,*	**Ψλ39:18** Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με· Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες. **Ψλ39:19** Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν. **Ψλ39:20** Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ ἐντραπείησαν οἱ θέλοντές μοι κακά.	18. Binevoieşte, Doamne, ca să mă izbăveşti; Doamne, ca să-mi ajuţi mie i-a aminte. 19. Să se ruşineze şi să se înfrunte împreună cei ce caută sufletul meu ca să-l scoată pe dânsul. 20. Să se întoarcă înapoi şi să se ruşineze cei ce-mi voiesc mie rele.
Ψλ39:15 κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι Εὖγε εὖγε.	*15. să-şi poarte îndată ruşinea lor cei ce-mi zic mie: Bine, bine.*	**Ψλ39:21** Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι· Εὖγε, εὖγε.	21. Să-şi poarte îndată ruşinea lor cei ce-mi zic mie: Bine, bine.
Ψλ39:16 ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦν τές σε, Κύριε, καὶ εἰπάτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.	*16. Să se bucure şi să se veselească de Tine toţi cei ce Te caută, Doamne, şi să zică pururea: Mărească-Se Domnul, cei ce iubesc mântuirea Ta.*	**Ψλ39:22** Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦν τές σε, Κύριε, καὶ εἰπάτωσαν **διαπαντός** Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.	22. Să se bucure şi să se veselească de Tine toţi cei ce Te caută, Doamne, şi să zică pururea: Mărească-se Domnul, cei ce iubesc mântuirea Ta.
Ψλ39:17 ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· Κύριος φροντιεῖ μου. βοηθός μου καὶ ὑπερασπιστής μου σὺ εἶ· ὁ Θεός μου, μὴ χρονίσῃς.	*17. Iar eu sărac sunt şi sărman; Domnul Se îngrijeşte de mine. Ajutorul meu şi scutitorul (păzitorul) meu eşti Tu, Dumnezeul meu, nu zăbovi.*	**Ψλ39:23** Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· Κύριος φροντιεῖ μου. **Ψλ39:24** Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ, ὁ Θεός μου· μὴ χρονίσῃς. Δόξα...	23. Iar eu sărac sunt şi sărman; Domnul Se va îngriji de Mine. 24. Ajutorul meu şi păzitorul meu eşti Tu, Dumnezeul meu, nu zăbovi. Slavă…
ΨΑΛΜΟΣ Μ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 40* *Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ Μ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 40* *Întru sfârşit; psalm al lui David.*
Ψλ40:1 Μακάριος ὁ συνίων ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. **Ψλ40:2** Κύριος διαφυλάξαι αὐτὸν καὶ	*1. Fericit este cel ce pricepe pe sărac şi sărman; în ziua cea rea îl va izbăvi pe el Domnul.* *2. Domnul să-l păzească pe el, şi să-l vieze pe el,*	**Ψλ40:1** Μακάριος ὁ συνίων ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. **Ψλ40:2** Κύριος διαφυλάξαι αὐτὸν καὶ	1. Fericit este cel ce pricepe pe sărac şi sărman; în ziua cea rea îl va izbăvi pe el Domnul. 2. Domnul să-l păzească pe el, şi să-l vieze pe el,

ζῆσαι αὐτὸν καὶ μακαρίσαι αὐ τὸν ἐν τῇ γῇ καὶ μὴ παραδῴη αὐτὸν εἰς χεῖρας ἐχθροῦ αὐτοῦ.	*şi să-l fericească pe pământ, şi să nu-l dea în mâinile vrăjmaşilor lui.*	ζῆσαι αὐτὸν καὶ μακαρίσαι αὐ τὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῴη αὐτὸν εἰς χεῖρας ἐχθροῦ αὐτοῦ.	şi să-l fericească pe pământ, şi să nu-l dea în mâinile vrăjmaşilor lui.
Ψλ40:3 Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ· ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.	*3. Domnul va ajuta lui pe patul durerii lui; tot aşternutul lui l-ai întors întru boala lui.*	**Ψλ40:3** Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ· ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.	3. Domnul va ajuta lui pe patul durerii lui; tot aşternutul lui l-ai întors întru boala lui.
Ψλ40:4 ἐγὼ εἶπα Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.	*4. Eu am zis: Doamne miluieşte-mă, vindecă sufletul Meu, că am greşit Ţie.*	**Ψλ40:4** Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.	4. Eu am zis: Doamne, miluieşte-mă, vindecă sufletul Meu, că am greşit Ţie.
Ψλ40:5 οἱ ἐχθροί μου εἶπαν κακά μοι Πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;	*5. Vrăjmaşii Mei au zis rele Mie: Când va muri şi va pieri numele Lui?*	**Ψλ40:5** Οἱ ἐχθροί μου εἶπαν κακά μοι· Πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;	5. Vrăjmaşii meu au zis rele mie: Când va muri şi va pieri numele Lui?
Ψλ40:6 καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει· ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω καὶ ἐλάλει.	*6. Şi intra să vadă, în deşert grăia; inima lui adunat-a fărădelege luişi, ieşea afară şi grăia împreună.*	**Ψλ40:6** Καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ. **Ψλ40:7** Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ.	6. Şi intra să vadă, în deşert grăia inima lui, adunat-a fărădelege luişi. 7. Ieşea afară şi grăia împreună.
Ψλ40:7 ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι,	*7. Asupra Mea şopteau toţi vrăjmaşii Mei, asupra Mea gândeau rele mie,*	**Ψλ40:8** Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι.	8. Asupra Mea şopteau toţi vrăjmaşii Mei, asupra Mea gândeau rele Mie.
Ψλ40:8 λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;	*8. cuvânt călcător de lege au pus asupra Mea: Au doară Cel ce doarme nu va adăuga a se scula?*	**Ψλ40:9** Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ· Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;	9. Cuvânt călcător de lege au pus asupra Mea: Au doară Cel ce doarme nu va adăuga a se scula?
Ψλ40:9 καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν·	*9. Pentru (Şi) că omul păcii Mele, spre care am nădăjduit, cel ce mănâncă pâinile Mele, a mărit asupra Mea amăgire;*	**Ψλ40:10** Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.	10. Şi că omul păcii Mele, spre care am nădăjduit, cel ce mănâncă pâinile Mele, a mărit asupra Mea vicleşug.
Ψλ40:10 σὺ δέ, Κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.	*10. iar Tu, Doamne, miluieşte-Mă, şi Mă scoală, şi voi răsplăti lor.*	**Ψλ40:11** Σὺ δέ, Κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.	11. Iar Tu, Doamne, miluieşte-Mă, şi Mă scoală, şi voi răsplăti lor.
Ψλ40:11 ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με,	*11. Întru aceasta am cunoscut că M-ai voit,*	**Ψλ40:12** Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με,	12. Întru aceasta am cunoscut că M-ai voit,

ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ’ ἐμέ.	*că nu se va bucura vrăjmaşul meu de Mine.*	ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ’ ἐμέ.	că nu se va bucura vrăjmaşul meu de Mine.
Ψλ40:12 ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.	*12. Şi (Iar) pe Mine pentru nerăutate M-ai sprijinit şi M-ai întărit înaintea Ta în veac.*	**Ψλ40:13** Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.	13. Şi pe Mine pentru nerăutate M-ai sprijinit şi M-ai întărit înaintea Ta în veac.
Ψλ40:13 Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. γένοιτο γένοιτο.	*13. Bine este cuvântat Domnul Dumnezeul lui Israel, din veac şi până în veac. Fie, fie.*	**Ψλ40:14** Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο.	14. Bine este cuvântat Domnul Dumnezeul lui Israel, din veac şi până în veac. Fie, fie.
ΨΑΛΜΟΣ ΜΑ΄. Εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.	*PSALMUL 41* *Întru sfârşit; spre înţelegere fiilor lui Core.*	ΨΑΛΜΟΣ ΜΑ΄. Εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.	*PSALMUL 41* *Întru sfârşit; spre înţelegere fiilor lui Core.*
Ψλ41:1 Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.	*1. În ce chip doreşte cerbul izvoarele apelor, aşa doreşte sufletul meu spre Tine, Dumnezeule.*	**Ψλ41:1** Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.	1. În ce chip doreşte cerbul izvoarele apelor, aşa doreşte sufletul meu spre Tine, Dumnezeule.
Ψλ41:2 ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;	*2. Însetat-a sufletul meu spre Dumnezeul Cel viu; când voi veni şi mă voi arăta feţei lui Dumnezeu?*	**Ψλ41:2** Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν **τὸν ἰσχυρόν**, τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;	2. Însetat-a sufletul meu spre Dumnezeul Cel tare, Cel viu; când voi veni şi mă voi arăta feţei lui Dumnezeu?
Ψλ41:3 ἐγενήθη μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτὸς ἐν τῷ λέγεσθαί μοι καθ’ ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ Θεός σου;	*3. Făcutu-s-au lacrimile mele pâine ziua şi noaptea, când mi se zicea mie în toate zilele: Unde este Dumnezeul tău?*	**Ψλ41:3** Ἐγενήθη μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτὸς, ἐν τῷ λέγεσθαί μοι καθ’ ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;	3. Făcutu-s-au lacrimile mele pâine ziua şi noaptea, când mi se zicea mie în toate zilele: Unde este Dumnezeul tău?
Ψλ41:4 ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ’ ἐμὲ τὴν ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.	*4. Acestea mi-am adus aminte şi am revărsat spre mine sufletul meu, că voi trece în locul cortului celui minunat, până la casa lui Dumnezeu în glasul bucuriei şi al mărturisirii sunetului ce prăznuieşte.*	**Ψλ41:4** Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ’ ἐμὲ τὴν ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.	4. Acestea mi-am adus aminte şi am revărsat spre mine sufletul meu, că voi trece în locul cortului celui minunat, până la casa lui Dumnezeu, în glasul bucuriei şi al mărturisirii glasului ce prăznuieşte.
Ψλ41:5 ἵνα τί περίλυπος εἶ, ψυχή, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ	*5. Pentru ce eşti mâhnit, sufle, şi pentru ce mă turburi? Nădăjduieşte spre Dumnezeu, că mă voi mărturisi Lui; mântuirea feţei mele*	**Ψλ41:5** **Ἱνατί** περίλυπος εἶ, **ἡ** ψυχή **μου;** καὶ **ἱνατί** συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι	5. Pentru ce eşti mâhnit, sufletul meu? Şi pentru ce mă tulburi? Nădăjduieşte spre Dumnezeu, că mă voi mărturisi Lui; mântuirea

προσώπου μου ὁ Θεός μου.	*Dumnezeul meu.*	αὐτῷ· σωτήριον τοῦ προσώπου μου **καὶ** ὁ Θεός μου.	feţei mele şi Dumnezeul meu.
Ψλ41:6 πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ιορδάνου καὶ Ερμωνιμ, ἀπὸ ὄρους μικροῦ.	*6. Spre mine însumi sufletul meu s-a tulburat; pentru aceasta îmi voi aduce aminte de Tine din pământul Iordanului şi al Ermonului, din muntele cel mic.*	**Ψλ41:6** Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ιορδάνου καὶ Ερμωνιμ, ἀπὸ ὄρους μικροῦ.	6. Spre mine însumi sufletul meu s-a tulburat; pentru aceasta îmi voi aduce aminte de Tine din pământul Iordanului şi al Ermonului, din muntele cel mic.
Ψλ41:7 ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρρακτῶν σου, πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.	*7. Adânc pe adânc cheamă în glasul căderilor apelor Tale, toate înălţările Tale şi valurile Tale peste mine au trecut.*	**Ψλ41:7** Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρρακτῶν σου· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.	7. Adânc pe adânc cheamă în glasul căderilor apelor Tale; toate înălţările Tale şi valurile Tale peste mine au trecut.
Ψλ41:8 ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ παρ' ἐμοί, προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.	*8. Ziua va porunci Domnul mila Sa, şi noaptea cântarea de la mine, rugăciunea Dumnezeului vieţii mele.*	**Ψλ41:8** Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ **αὐτῷ** παρ' ἐμοί, προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.	8. Ziua va porunci Domnul mila Sa, şi noaptea cântare Lui de la mine, rugăciunea Dumnezeului vieţii mele.
Ψλ41:9 ἐρῶ τῷ Θεῷ Ἀντιλήμπτωρ μου εἶ· διὰ τί μου ἐπελάθου; ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;	*9. Zice-voi lui Dumnezeu: Sprijinitorul meu eşti; pentru ce m-ai uitat? Pentru ce mâhnindu-mă umblu, când mă necăjeşte vrăjmaşul meu?*	**Ψλ41:9** Ἐρῶ τῷ Θεῷ· Ἀντιλήμπτωρ μου εἶ· **διὰτί** μου ἐπελάθου; **καὶ** ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;	9. Zice-voi lui Dumnezeu: Sprijinitorul meu eşti; pentru ce m-ai uitat? Şi pentru ce, mâhnindu-mă, umblu când mă necăjeşte vrăjmaşul meu?
Ψλ41:10 ἐν τῷ καταθλάσαι τὰ ὀστᾶ μου ὠνείδισάν με οἱ θλίβοντές με ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ Θεός σου;	*10. Când se sfărâmau oasele mele, mă ocărau supărându-mă, când ziceau ei mie, în toate zilele: Unde este Dumnezeul tău?*	**Ψλ41:10** Ἐν τῷ **καταθλᾶσθαι** τὰ ὀστᾶ μου **ὠνείδιζόν** με οἱ **ἐχθροί μου**, ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;	10. Când se sfărâmau oasele mele, mă ocărau vrăjmaşii mei, când ziceau ei mie în toate zilele: Unde este Dumnezeul tău?
Ψλ41:11 ἵνα τί περίλυπος εἶ, ψυχή, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· ἡ σωτηρία τοῦ προσώπου μου ὁ Θεός μου.	*11. Pentru ce eşti mâhnit suflete, şi pentru ce mă turburi? Nădăjduieşte spre Dumnezeu, că mă voi mărturisi Lui; mântuirea feţei mele (este) Dumnezeul meu.*	**Ψλ41:11** **Ἱνατί** περίλυπος εἶ, ἡ ψυχή μου; καὶ **ἱνατί** συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· ἡ σωτηρία τοῦ προσώπου μου **καὶ** ὁ Θεός μου.	11. Pentru ce eşti mâhnit, sufletul meu? Şi pentru ce mă tulburi? Nădăjduieşte spre Dumnezeu, că mă voi mărturisi Lui; mântuirea feţei mele şi Dumnezeul meu.

ΨΑΛΜΟΣ ΜΒ΄. Ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 42* *Psalm al lui David.*	ΨΑΛΜΟΣ ΜΒ΄. Ψαλμὸς τῷ Δαυΐδ· ἀνεπίγραφος παρ' Ἑβραίοις.	*PSALMUL 42* *Psalm al lui David; nescris deasupra la Evrei.*
Ψλ42:1 Κρῖνόν με, ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.	*1. Judecă-mă, Dumnezeule, şi judecă dreptatea mea din neamul necuvios, de omul nedrept şi viclean izbăveşte-mă.*	Ψλ42:1 Κρῖνόν **μοι**, ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.	1. Judecă mie, Dumnezeule, şi judecă dreptatea mea din neamul necuvios; de omul nedrept şi viclean, izbăveşte-mă.
Ψλ42:2 ὅτι σὺ εἶ, ὁ Θεός, κραταίωμά μου· ἵνα τί ἀπώσω με; καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;	*2. Că Tu eşti Dumnezeule, întărirea mea; pentru ce m-ai lepădat şi pentru ce mâhnindu-mă umblu, când mă necăjeşte vrăjmaşul meu?*	Ψλ42:2 Ὅτι σὺ εἶ, ὁ Θεός, κραταίωμά μου· **ἱνατί** ἀπώσω με; καὶ **ἱνατί** σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;	2. Că Tu eşti, Dumnezeule, întărirea mea; pentru ce m-ai lepădat? Şi pentru ce, mâhnindu-mă, umblu când mă necăjeşte vrăjmaşul meu.
Ψλ42:3 ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου.	*3. Trimite lumina Ta şi adevărul Tău; acestea m-au povăţuit şi m-au adus la muntele cel sfânt al Tău şi la locaşurile Tale.*	Ψλ42:3 Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου.	3. Trimite lumina Ta şi adevărul Tău; acestea m-au povăţuit şi m-au adus la muntele cel sfânt al Tău şi la locaşurile Tale.
Ψλ42:4 καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου· ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεὸς ὁ Θεός μου.	*4. Şi voi intra la jertfelnicul lui Dumnezeu, la Dumnezeul cel ce veseleşte tinereţile mele; mărturisi-mă-voi Ţie în alăută, Dumnezeule, Dumnezeul meu.*	Ψλ42:4 Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ, πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου· ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεὸς ὁ Θεός μου.	4. Şi voi intra la jertfelnicul lui Dumnezeu, la Dumnezeul cel ce veseleşte tinereţile mele; mărturisi-mă-voi Ţie în alăută, Dumnezeule, Dumnezeul meu.
Ψλ42:5 ἵνα τί περίλυπος εἶ, ψυχή, καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου ὁ Θεός μου.	*5. Pentru ce eşti mâhnit suflete, şi pentru ce mă turburi? Nădăjduieşte spre Dumnezeu, că mă voi mărturisi Lui, mântuirea feţei mele (este) Dumnezeul meu.*	Ψλ42:5 **Ἱνατί** περίλυπος εἶ, **ἡ ψυχή μου;** καὶ **ἱνατί** συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου. Δόξα...	5. Pentru ce eşti mâhnit sufletul meu? Şi pentru ce mă tulburi? Nădăjduieşte spre Dumnezeu, că mă voi mărturisi Lui; mântuirea feţei mele şi Dumnezeul meu. Slavă…
ΨΑΛΜΟΣ ΜΓ΄. Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορε εἰς σύνεσιν ψαλμός.	*PSALMUL 43* *Întru sfârşit; fiilor lui Core, spre înţelegere psalm.*	ΨΑΛΜΟΣ ΜΓ΄. Εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.	*PSALMUL 43* *Întru sfârşit; spre înţelegere fiilor lui Core.*
Ψλ43:1 Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν,	*1. Dumnezeule, cu urechile noastre am*	Ψλ43:1 Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν,	1. Dumnezeule, cu urechile noastre am

οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.	*auzit, şi părinţii noştri ne-au spus nouă lucruri, care ai lucrat în zilele lor, în zilele cele de demult.*	οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.	auzit, şi părinţii noştri ne-au spus nouă lucrul, care l-ai lucrat în zilele lor, în zilele cele de demult.
Ψλ43:2 ἡ χείρ σου ἔθνη ἐξωλέθρευσεν, καὶ κατεφύτευσας αὐτούς, ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.	*2. Mâna Ta neamuri a pierdut şi i-ai sădit pe dânşii; chinuit-ai popoare şi le-ai gonit pe ele.*	**Ψλ43:2** Ἡ χείρ σου ἔθνη **ἐξωλέθρευσε**, καὶ κατεφύτευσας αὐτούς, ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.	2. Mâna Ta neamuri a pierdut, şi i-ai sădit pe dânşii; chinuit-ai popoare şi le-ai gonit pe ele.
Ψλ43:3 οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς, ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς.	*3. Că nu cu sabia lor au moştenit pământul, şi braţul lor nu i-a mântuit pe ei, ci dreapta Ta şi braţul Tău şi luminarea feţei Tale, că bine ai voit întru dânşii.*	**Ψλ43:3** Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς, **Ψλ43:4** ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς.	3. Că nu cu sabia lor au moştenit pământul, şi braţul lor nu i-a mântuit pe ei, 4. ci dreapta Ta şi braţul Tău, şi strălucirea feţei Tale, că bine ai voit întru dânşii.
Ψλ43:4 σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακὼβ·	*4. Tu eşti Însuţi Împăratul meu şi Dumnezeul meu, Cel ce porunceşti mântuirile lui Iacov.*	**Ψλ43:5** Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακὼβ·	5. Tu eşti Însuţi Împăratul meu şi Dumnezeul meu, Cel ce porunceşti mântuirile lui Iacov.
Ψλ43:5 ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν καὶ ἐν τῷ ὀνόματί σου ἐξουθενώσομεν τοὺς ἐπανιστανομένους ἡμῖν.	*5. Întru Tine, pe vrăjmaşii noştri cu cornul vom împunge, şi întru numele Tău de nimic vom face pe cei ce se scoală asupra noastră.*	**Ψλ43:6** Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουθενώσομεν τοὺς ἐπανιστανομένους ἡμῖν.	6. Întru Tine pe vrăjmaşii noştri cu cornul vom împunge, şi întru numele Tău de nimic vom face pe cei ce se scoală asupra noastră.
Ψλ43:6 οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με·	*6. Pentru că nu spre arcul meu voi nădăjdui, şi sabia mea nu mă va mântui;*	**Ψλ43:7** Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με.	7. Pentru că nu spre arcul meu voi nădăjdui, şi sabia mea nu mă va mântui.
Ψλ43:7 ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.	*7. Că ne-ai mântuit pe noi de cei ce ne necăjesc pe noi, şi pe cei ce ne urăsc i-ai ruşinat.*	**Ψλ43:8** Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.	8. Că ne-ai mântuit pe noi de cei ce ne necăjesc pe noi, şi pe cei ce ne urăsc i-ai ruşinat.
Ψλ43:8 ἐν τῷ Θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.	*8. Întru Dumnezeu ne vom lăuda toată ziua, şi întru numele Tău ne vom mărturisi în veac.*	**Ψλ43:9** Ἐν τῷ Θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν, καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.	9. Întru Dumnezeu ne vom lăuda toată ziua, şi întru numele Tău ne vom mărturisi în veac.
Ψλ43:9 νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν·	*9. Iar acum ne-ai lepădat şi ne-ai ruşinat pe noi şi nu vei ieşi, Dumnezeule, întru*	**Ψλ43:10** Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ, **ὁ Θεός**, ἐν ταῖς	10. Iar acum ne-ai lepădat şi ne-ai ruşinat pe noi, şi nu vei ieşi, Dumnezeule, întru

	puterile noastre;	δυνάμεσιν ἡμῶν.	puterile noastre.
Ψλ43:10 ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.	*10. întorsu-ne-ai pe noi înapoi înaintea vrăjmaşilor noştri, şi cei ce ne urau pe noi ne-au jefuit loruşi.*	Ψλ43:11 Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.	11. Întorsu-ne-ai pe noi înapoi înaintea vrăjmaşilor noştri, şi cei ce ne urau pe noi ne-au jefuit loruşi.
Ψλ43:11 ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως καὶ ἐν τοῖς ἔθνεσιν διέσπειρας ἡμᾶς·	*11. Datu-ne-ai pe noi ca oile de mâncare, şi între neamuri ne-ai risipit pe noi;*	Ψλ43:12 Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσιν διέσπειρας ἡμᾶς.	12. Datu-ne-ai pe noi ca oile de mâncare, şi în neamuri ne-ai risipit.
Ψλ43:12 ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν αὐτῶν.	*12. vândut-ai pe poporul Tău fără preţ, şi nu era mulţime întru strigările lor.*	Ψλ43:13 Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν **ἡμῶν**.	13. Vândut-ai pe poporul Tău fără preţ şi nu era mulţime întru strigările noastre.
Ψλ43:13 ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν·	*13. Pusu-ne-ai pe noi ocară vecinilor noştri, batjocură şi luare în râs celor dimprejurul nostru;*	Ψλ43:14 Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ **χλευασμὸν** τοῖς κύκλῳ ἡμῶν.	14. Pusu-ne-ai pe noi ocară vecinilor noştri, batjocură şi luare în râs celor dimprejurul nostru.
Ψλ43:14 ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.	*14. pusu-ne-ai pe noi spre pildă întru neamuri, clătinare de cap întru popoare.*	Ψλ43:15 Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς **ἔθνεσι**, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.	15. Pusu-ne-ai pe noi spre pildă întru neamuri, clătinare de cap întru popoare.
Ψλ43:15 ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστιν, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέν με	*15. Toată ziua înfruntarea mea înaintea mea este, şi ruşinea feţei mele m-a acoperit*	Ψλ43:16 Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού **ἐστι**, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέν με,	16. Toată ziua înfruntarea mea înaintea mea este, şi ruşinea obrazului meu m-a acoperit.
Ψλ43:16 ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ παραλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.	*16. de către glasul celui ce ocăreşte şi cleveteşte, de către faţa vrăjmaşului şi prigonitorului.*	Ψλ43:17 ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ **καταλαλοῦντος**, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.	17. De către glasul celui ce ocărăşte şi cleveteşte, de către faţa vrăjmaşului şi prigonitorului.
Ψλ43:17 ταῦτα πάντα ἦλθεν ἐφ᾽ ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου,	*17. Acestea toate au venit peste noi, şi nu Te-am uitat pe Tine şi nu am făcut nedreptate întru aşezământul de lege al Tău,*	Ψλ43:18 Ταῦτα πάντα ἦλθεν ἐφ᾽ ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου.	18. Acestea toate au venit peste noi, şi nu Te-am uitat pe Tine şi nu am făcut nedreptate întru aşezământul de lege al Tău.
Ψλ43:18 καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν· καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.	*18. şi nu s-au depărtat înapoi inimile noastre, şi ai abătut cărările noastre de la calea Ta.*	Ψλ43:19 Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.	19. Şi nu s-au depărtat înapoi inimile noastre, şi ai abătut cărările noastre de la calea Ta.
Ψλ43:19 ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.	*19. Că ne-ai smerit pe noi în locul dosădirii, şi ne-a acoperit pe noi umbra morţii.*	Ψλ43:20 Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.	20. Că ne-ai smerit pe noi în locul dosădirii, şi ne-a acoperit pe noi umbra morţii.

Ψλ43:20 εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον,	*20. De am uitat numele Dumnezeului nostru, şi de am întins mâinile noastre către dumnezeu străin,*	**Ψλ43:21** Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον,	21. De am uitat numele Dumnezeului nostru, şi de am întins mâinile noastre către dumnezeu străin,
Ψλ43:21 οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.	*21. au nu Dumnezeu va cerceta acestea? Că El cunoaşte ascunzişurile inimii.*	**Ψλ43:22** οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.	22. au nu Dumnezeu va cerceta acestea? Că El cunoaşte ascunzişurile inimii.
Ψλ43:22 ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.	*22. Că pentru Tine ne omorâm toată ziua, socotitu-ne-am ca nişte oi de junghiere.*	**Ψλ43:23** Ὅτι ἕνεκα **σου** θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.	23. Că pentru Tine ne omorâm toată ziua, socotindu-ne-am ca nişte oi de junghiere.
Ψλ43:23 ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, Κύριε; ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος.	*23. Deşteaptă-te, pentru ce dormi, Doamne? Scoală-Te, şi să nu ne lepezi până în sfârşit.*	**Ψλ43:24** Ἐξεγέρθητι· **ἱνατί** ὑπνοῖς, Κύριε; ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος.	24. Deşteaptă-te, pentru ce dormi, Doamne? Scoală-Te şi să nu ne lepezi până în sfârşit.
Ψλ43:24 ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις, ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;	*24. Pentru ce întorci faţa Ta? Uiţi sărăcia noastră şi necazul nostru?*	**Ψλ43:25** **Ἱνατί** τὸ πρόσωπόν σου ἀποστρέφεις, ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;	25. Pentru ce întorci faţa Ta? Uiţi sărăcia noastră şi necazul nostru.
Ψλ43:25 ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.	*25. Că s-a smerit în ţărână sufletul nostru, lipitu-s-a de pământ pântecele nostru.*	**Ψλ43:26** Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.	26. Că s-a smerit în ţărână sufletul nostru; lipitu-s-a de pământ pântecele nostru.
Ψλ43:26 ἀνάστα, Κύριε, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.	*26. Scoală-te, Doamne, ajută nouă şi ne izbăveşte pe noi pentru numele Tău.*	**Ψλ43:27** Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.	27. Scoală-te, Doamne, ajută nouă şi ne izbăveşte pe noi, pentru numele Tău.
ΨΑΛΜΟΣ ΜΔ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς Κορε εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.	*PSALMUL 44* *Întru sfârşit, pentru cei ce se vor schimba, fiilor lui Core spre înţelegere. Cântare pentru cel iubit.*	ΨΑΛΜΟΣ ΜΔ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς Κορέ εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.	*PSALMUL 44* *Întru sfârşit, pentru cei ce se vor schimba; fiilor lui Core spre înţelegere; cântare pentru cel iubit.*
Ψλ44:1 Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.	*1. Răspuns-a (Scos-a) inima mea cuvânt bun, grăiesc eu lucrurile mele Împăratului, limba mea este trestie a scriitorului ce scrie degrab.*	**Ψλ44:1** Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.	1. Scos-a inima mea cuvânt bun, grăiesc eu lucrurile mele Împăratului, limba mea este trestie a scriitorului ce scrie degrab.
Ψλ44:2 ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν	*2. Împodobit cu frumuseţea mai mult*	**Ψλ44:2** Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν	2. Împodobit cu frumuseţea mai mult

ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσίν σου· διὰ τοῦτο εὐλόγησέν σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.	*decât fiii oamenilor; vărsatu-s-a dar în buzele Tale, pentru aceasta Te-a binecuvântat pe Tine Dumnezeu în veac.*	ἀνθρώπων, ἐξεχύθη χάρις ἐν **χείλεσί** σου, διὰ τοῦτο **εὐλόγησέ** σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.	decât fiii oamenilor, vărsatu-s-a dar în buzele Tale, pentru aceasta Te-a binecuvântat pe Tine Dumnezeu în veac.
Ψλ44:3 περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου	*3. Încinge sabia Ta peste coasta Ta, puternice, cu podoaba (frumuseţea) Ta şi cu frumuseţea (bunătatea) Ta*	Ψλ44:3 Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.	3. Încinge sabia Ta peste coapsa Ta, puternice, cu podoaba Ta şi cu frumuseţea Ta.
Ψλ44:4 καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.	*4. şi încordează şi bine-sporeşte şi împărăţeşte pentru adevăr şi blândeţe şi dreptate, şi te va povăţui minunat dreapta Ta.*	Ψλ44:4 Καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.	4. Şi încordează şi bine-sporeşte şi împărăţeşte, pentru adevăr şi blândeţe şi dreptate; şi te va povăţui minunat dreapta Ta.
Ψλ44:5 τὰ βέλη σου ἠκονημένα, δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.	*5. Săgeţile Tale ascuţite sunt, puternice, popoarele sub Tine vor cădea, în inima vrăjmaşilor împăratului.*	Ψλ44:5 Τὰ βέλη σου ἠκονημένα, δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.	5. Săgeţile Tale ascuţite sunt, puternice, popoarele sub Tine vor cădea, în inima vrăjmaşilor împăratului.
Ψλ44:6 ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.	*6. Scaunul Tău, Dumnezeule, în veacul veacului, toiagul dreptăţii este toiagul împărăţiei Tale.*	Ψλ44:6 Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.	6. Scaunul Tău, Dumnezeule, în veacul veacului, toiagul dreptăţii este toiagul împărăţiei Tale.
Ψλ44:7 ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέν σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.	*7. Iubit-ai dreptatea şi ai urât fărădelegea; pentru aceasta Te-a uns pe Tine, Dumnezeule, Dumnezeul Tău, cu untuldelemn al bucuriei mai mult decât pe părtaşii Tăi.*	Ψλ44:7 Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο **ἔχρισέ** σε, ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.	7. Iubit-ai dreptatea şi ai urât fărădelegea; pentru aceasta Te-a uns pe Tine, Dumnezeule, Dumnezeul Tău, cu untdelemn al bucuriei mai mult decât pe părtaşii Tăi.
Ψλ44:8 σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν ηὔφρανάν σε.	*8. Smirna şi stacti (aloe) şi casia din hainele Tale, din palate de fildeş, din care Te-au veselit.*	Ψλ44:8 Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν **εὔφρανάν** σε· θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου.	8. Smirna şi stacti şi casia din hainele Tale, din palate de fildeş, din care Te-au veselit; fiicele împăraţilor întru cinstea Ta.
Ψλ44:9 θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη	*9. Fiicele împăraţilor întru cinstea Ta; stătuta Împărăteasa de-a dreapta Ta în haină aurită îmbrăcată, împodobită.*	Ψλ44:9 Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη	9. Stătut-a împărăteasa de-a dreapta Ta, îmbrăcată în haină aurită împodobită.

πεποικιλμένη.		πεποικιλμένη.	
Ψλ44:10 ἄκουσον, θύγατερ, καὶ ἰδὲ καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου,	*10. Ascultă, fiică, şi vezi şi pleacă urechea ta; şi uită poporul tău şi casa părintelui tău,*	**Ψλ44:10** Ἄκουσον, θύγατερ, καὶ ἰδὲ καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου.	10. Ascultă, fiică, şi vezi, şi pleacă urechea ta, şi uită poporul tău, şi casa părintelui tău.
Ψλ44:11 ὅτι ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστιν **ὁ** Κύριός σου.	*11. Că va pofti Împăratul frumuseţea ta, că Acesta este Domnul tău.*	**Ψλ44:11 Καὶ ἐπιθυμήσει** ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός **ἐστι** Κύριός σου, καὶ **προσκυνήσεις** αὐτῷ.	11. Şi va pofti Împăratul frumuseţea ta, că Acesta este Domnul tău, şi te vei închina Lui.
Ψλ44:12 καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.	*12. Şi se vor închina Lui fiicele Tirului cu daruri, feţei tale se vor ruga bogaţii poporului.*	**Ψλ44:12 Καὶ θυγάτηρ** Τύρου ἐν δώροις· τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.	12. Şi fiica Tirului cu daruri; feţei Tale se vor ruga bogaţii poporului.
Ψλ44:13 πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.	*13. Toată slava fiicei Împăratului dinăuntru, cu ciucuri de aur înfăşurată, împodobită.*	**Ψλ44:13** Πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.	13. Toată slava fiicei împăratului dinăuntru, cu ciucuri de aur înfăşurată, împodobită.
Ψλ44:14 ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι·	*14. Aduce-se-vor Împăratului fecioare în urma ei, cele de aproape ale ei se vor aduce Ţie.*	**Ψλ44:14** Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.	14. Aduce-se-vor Împăratului fecioare în urma ei, cele de aproape ale ei se vor aduce Ţie.
Ψλ44:15 ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.	*15. Aduce-se-vor întru veselie şi bucurie, aduce-se-vor în Biserica Împăratului.*	**Ψλ44:15** Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως.	15. Aduce-se-vor întru veselie şi bucurie, aduce-se-vor în Biserica Împăratului.
Ψλ44:16 ἀντὶ τῶν πατέρων σου ἐγενήθησάν σοι υἱοί· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.	*16. În locul părinţilor tăi s-au născut fiii tăi; pune-vei pe dânşii începători peste tot pământul.*	**Ψλ44:16** Ἀντὶ τῶν πατέρων σου **ἐγενήθησαν οἱ υἱοί σου**· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.	16. În locul părinţilor tăi s-au născut fiii tăi; pune-vei pe dânşii căpetenii peste tot pământul.
Ψλ44:17 μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*17. Pomeni-voi numele tău întru tot neamul şi neamul; pentru aceasta popoarele se vor mărturisi Ţie în veac şi în veacul veacului.*	**Ψλ44:17** Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. **Ψλ44:18** Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	17. Pomeni-voi numele tău întru tot neamul şi neamul. 18. Pentru aceasta popoarele se vor mărturisi Ţie în veac, şi în veacul veacului.
ΨΑΛΜΟΣ ΜΕ΄.	*PSALMUL 45*	ΨΑΛΜΟΣ ΜΕ΄.	*PSALMUL 45*
Εἰς τὸ τέλος· ὑπὲρ τῶν	*Întru sfârşit, pentru fiii*	Εἰς τὸ τέλος, ὑπὲρ τῶν	*Întru sfârşit, pentru cele*

υἱῶν Κορε, ὑπὲρ τῶν κρυφίων ψαλμός.	*lui Core, pentru cele de taină (ascunse) psalm.*	κρυφίων, τοῖς υἱοῖς Κορέ· ψαλμὸς τῷ Δαυΐδ.	*ascunse, fiilor lui Core; psalm al lui David.*
Ψλ45:1 Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσιν ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.	*1. Dumnezeu este scăparea noastră şi puterea, ajutor întru necazurile ce ne-au aflat pe noi foarte.*	**Ψλ45:1** Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν **θλίψεσι** ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.	1. Dumnezeu este scăparea noastră şi puterea, ajutor întru necazurile ce ne-au aflat pe noi foarte.
Ψλ45:2 διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.	*2. Pentru aceasta nu ne vom teme când se va turbura pământul şi se vor muta munţii în inimile mărilor.*	**Ψλ45:2** Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.	2. Pentru aceasta nu ne vom teme când se va tulbura pământul şi se vor muta munţii în inimile mărilor.
Ψλ45:3 ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.	*3. Sunat-au şi s-au tulburat apele lor, tulburatu-s-au munţii întru tăria Lui.*	**Ψλ45:3** Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.	3. Sunat-au şi s-au tulburat apele lor, tulburatu-s-au munţii, întru tăria Lui.
Ψλ45:4 τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσιν τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασεν τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.	*4. Pornirile râurilor veselesc cetatea lui Dumnezeu; sfinţit-a locaşul Său Cel Preaînalt.*	**Ψλ45:4** Τοῦ ποταμοῦ τὰ ὁρμήματα **εὐφραίνουσι** τὴν πόλιν τοῦ Θεοῦ· **ἡγίασε** τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.	4. Pornirile râului veselesc cetatea lui Dumnezeu; sfinţit-a locaşul Său Cel Preaînalt.
Ψλ45:5 ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωί.	*5. Dumnezeu în mijlocul ei, nu se va clătina, ajuta-va ei Dumnezeu dis de dimineaţă.*	**Ψλ45:5** Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, **καὶ** οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς **πρωΐ πρωΐ**.	5. Dumnezeu în mijlocul ei, şi nu se va clătina, ajuta-va ei Dumnezeu dimineaţa dis de dimineaţă.
Ψλ45:6 ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι· ἔδωκεν φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ.	*6. Tulburatu-s-au neamurile, plecatu-s-au împărăţiile, dat-a glasul Său, clătinatu-s-a pământul.*	**Ψλ45:6** Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, **ἔδωκε** φωνὴν αὐτοῦ **ὁ Ὕψιστος**, ἐσαλεύθη ἡ γῆ.	6. Tulburatu-s-au neamurile, plecatu-s-au împărăţiile, dat-a glasul Său Cel Preaînalt, clătinatu-s-a pământul.
Ψλ45:7 Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήμπτωρ ἡμῶν ὁ Θεὸς Ἰακὼβ. διάψαλμα.	*7. Domnul puterilor este cu noi, sprijinitorul nostru, Dumnezeul lui Iacov.*	**Ψλ45:7** Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, **ἀντιλήπτωρ** ἡμῶν ὁ Θεὸς Ἰακὼβ.	7. Domnul puterilor este cu noi, sprijinitorul nostru, Dumnezeul lui Iacov.
Ψλ45:8 δεῦτε ἴδετε τὰ ἔργα Κυρίου, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς. **Ψλ45:9** ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς τόξον συντρίψει καὶ συγκλάσει ὅπλον καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.	*8. Veniţi, vedeţi lucrurile Domnului, minunile pe care le-a pus pe pământ.* *9. Stricând războaie până la marginile pământului arcul va sfărâma şi va frânge arma şi pavezele le va arde cu foc.*	**Ψλ45:8** Δεῦτε **καὶ** ἴδετε τὰ ἔργα **τοῦ Θεοῦ**, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς· ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς. **Ψλ45:9** Τόξον συντρίψει καὶ συγκλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.	8. Veniţi şi vedeţi lucrurile lui Dumnezeu, minunile pe care le-a pus pe pământ, stricând războaie până la marginile pământului. 9. Arcul va sfărâma şi va frânge arma, şi pavezele le va arde cu foc.
Ψλ45:10 σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ	*10. Îndeletniciţi-vă şi cunoaşteţi, că Eu sunt*	**Ψλ45:10** Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ	10. Îndeletniciţi-vă şi cunoaşteţi că Eu sunt

Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.	*Dumnezeu; înălţa-Mă-voi întru neamuri, înălţa-Mă-voi pe pământ.*	Θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.	Dumnezeu; înălţa-Mă-voi întru neamuri, înălţa-Mă-voi pe pământ.
Ψλ45:11 Κύριος τῶν δυνάμεων μεθ’ ἡμῶν, ἀντιλήμπτωρ ἡμῶν ὁ Θεὸς Ἰακὼβ.	*11. Domnul puterilor cu noi, Sprijinitorul nostru, Dumnezeul lui Iacov.*	**Ψλ45:11** Κύριος τῶν δυνάμεων μεθ’ ἡμῶν, **ἀντιλήπτωρ** ἡμῶν ὁ Θεὸς Ἰακὼβ. Δόξα...	11. Domnul puterilor cu noi, Sprijinitorul nostru, Dumnezeul lui Iacov. Slavă…
ΨΑΛΜΟΣ ΜΣΤ΄. Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορε ψαλμός.	*PSALMUL 46* *Întru sfârşit; pentru fii lui Core psalm.*	ΚΑΘΙΣΜΑ ΕΒΔΟΜΟΝ ΨΑΛΜΟΣ ΜΣΤ΄. Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ ψαλμός.	Catisma a şaptea *PSALMUL 46* *Întru sfârşit; pentru fiii lui Core psalm.*
Ψλ46:1 Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως,	*1. Toate neamurile plesniţi cu mâinile, strigaţi lui Dumnezeu cu glas de bucurie,*	**Ψλ46:1** Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.	1. Toate neamurile bateţi din palme; strigaţi lui Dumnezeu cu glas de bucurie.
Ψλ46:2 ὅτι Κύριος ὕψιστος φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.	*2. Că Domnul este Preaînalt, înfricoşător, Împărat mare peste tot pământul.*	**Ψλ46:2** Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.	2. Că Domnul este preaînalt, înfricoşător, Împărat mare peste tot pământul.
Ψλ46:3 ὑπέταξεν λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν·	*3. Supus-a nouă popoare şi neamuri sub picioarele noastre;*	**Ψλ46:3** **Ὑπέταξε** λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.	3. Supus-a nouă popoare, şi neamuri sub picioarele noastre.
Ψλ46:4 ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. διάψαλμα.	*4. ales-a nouă moştenirea Sa, frumuseţea lui Iacov, pe care o a iubit.*	**Ψλ46:4** Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν **ἑαυτῷ**, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν.	4. Ales-a nouă moştenirea Sa, frumuseţea lui Iacov pe care o a iubit.
Ψλ46:5 ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.	*5. Suitu-S-a Dumnezeu întru strigare, Domnul în glas de trâmbiţă.*	**Ψλ46:5** Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.	5. Suitu-S-a Dumnezeu întru strigare, Domnul în glas de trâmbiţă.
Ψλ46:6 ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε,	*6. Cântaţi Dumnezeului nostru, cântaţi; cântaţi Împăratului nostru, cântaţi,*	**Ψλ46:6** Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε.	6. Cântaţi Dumnezeului nostru, cântaţi; cântaţi Împăratului nostru, cântaţi.
Ψλ46:7 ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς.	*7. că este Împărat a tot pământul Dumnezeu, cântaţi cu înţelegere.*	**Ψλ46:7** Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς.	7. Că este Împărat a tot pământul Dumnezeu; cântaţi cu înţelegere.
Ψλ46:8 ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.	*8. Împărăţit-au Dumnezeu peste neamuri, Dumnezeu şade pe scaunul cel sfânta al Său.*	**Ψλ46:8** Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.	8. Împărăţit-a Dumnezeu peste neamuri, Dumnezeu şade pe scaunul cel sfânt al Său.
Ψλ46:9 ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Αβρααμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς, σφόδρα	*9. Boierii (Începătorii) popoarelor s-au adunat cu Dumnezeul lui Avraam, că ai lui Dumnezeu cei puternici*	**Ψλ46:9** Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Αβρααμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς, σφόδρα	9. Începătorii popoarelor s-au adunat cu Dumnezeul lui Avraam, că ai lui Dumnezeu cei puternici ai pământului,

ἐπήρθησαν.	*ai pământului, foarte s-au înălţat.*	ἐπήρθησαν.	foarte s-au înălţat.
ΨΑΛΜΟΣ ΜΖ΄. Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορε· δευτέρᾳ σαββάτου.	*PSALMUL 47* *Psalmul de cântare fiilor lui Core, la a doua a Sâmbetei.*	ΨΑΛΜΟΣ ΜΖ΄. Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ, δευτέρᾳ Σαββάτου.	*PSALMUL 47* *Psalmul de cântare fiilor lui Core, la a doua a Sâmbetei.*
Ψλ47:1 Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ὄρει ἁγίῳ αὐτοῦ, Ψλ47:2 εὖ ῥιζῶν ἀγαλλιάματι πάσης τῆς γῆς. ὄρη Σιων, τὰ πλευρὰ τοῦ βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου,	*1. Mare este Domnul şi lăudat foarte în cetatea Dumnezeului nostru, în muntele cel sfânt al Lui,* *2. cu bucurie bine-înrădăcinat a tot pământul. Munţii Sionului, coastele crivăţului, cetatea Împăratului Celui mare,*	Ψλ47:1 Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ὄρει ἁγίῳ αὐτοῦ, **εὑρίζῳ** ἀγαλλιάματι πάσης τῆς γῆς. Ψλ47:2 Ὄρη Σιων, τὰ πλευρὰ τοῦ βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.	1. Mare este Domnul şi lăudat foarte în cetatea Dumnezeului nostru, în muntele cel sfânt al Lui, cu bucurie bine-înrădăcinat a tot pământul. 2. Munţii Sionului, coastele crivăţului, cetatea Împăratului Celui mare.
Ψλ47:3 ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. Ψλ47:4 ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν, ἦλθοσαν ἐπὶ τὸ αὐτό· Ψλ47:5 αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, Ψλ47:6 τρόμος ἐπελάβετο αὐτῶν, ἐκεῖ ὠδῖνες ὡς τικτούσης. Ψλ47:7 ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσις. Ψλ47:8 καθάπερ ἠκούσαμεν, οὕτως εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν· ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.	*3. Dumnezeu, în palaturile ei se cunoaşte, când o sprijineşte (ţine) pe ea.* *4. Că iată, împăraţii pământului s-au adunat, strânsu-s-au împreună;* *5. aceştia văzând-o aşa, s-au mirat, s-au tulburat, s-au clătinat,* *6. cutremur i-a cuprins pe ei, acolo sunt dureri ca ale celeia ce naşte.* *7. Cu duh silnic va sfărâma corăbiile Tarsisului.* *8. Precum am auzit, aşa am şi văzut, în cetatea Dumnezeului puterilor, în cetatea Dumnezeului nostru; Dumnezeu o a întemeiat pe ea în veac.*	Ψλ47:3 Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. Ψλ47:4 Ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν, **διήλθοσαν** ἐπὶ τὸ αὐτό. Ψλ47:5 Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν. Ψλ47:6 Ἐκεῖ ὠδῖνες ὡς τικτούσης· ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσις. Ψλ47:7 Καθάπερ ἠκούσαμεν, **οὕτω καὶ** εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. Ψλ47:8 Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.	3. Dumnezeu în palaturile ei se cunoaşte, când o ține pe ea. 4. Că iată, împăraţii pământului s-au adunat, strânsu-s-au împreună. 5. Aceştia, văzând-o aşa, s-au mirat, s-au tulburat, s-au clătinat, cutremur i-a cuprins pe ei. 6. Acolo sunt dureri ca ale celeia ce naşte; cu duh silnic va sfărâma corăbiile Tarsisului. 7. Precum am auzit, aşa am şi văzut, în cetatea Domnului puterilor, în cetatea Dumnezeului nostru. 8. Dumnezeu o a întemeiat pe ea în veac.
Ψλ47:9 ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ ναοῦ σου. Ψλ47:10 κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ	*9. Luat-am, Dumnezeule, mila ta în mijlocul Bisericii Tale.* *10. După numele Tău, Dumnezeule, aşa şi lauda Ta peste*	Ψλ47:9 Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ **λαοῦ** σου. Ψλ47:10 Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, **οὕτω** καὶ ἡ αἴνεσίς σου	9. Luat-am, Dumnezeule, mila Ta în mijlocul poporului Tău. 10. După numele Tău, Dumnezeule, aşa şi lauda Ta peste marginile

πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου.	*marginile pământului; de dreptate plină este dreapta Ta.*	ἐπὶ τὰ πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου.	pământului; de dreptate plină este dreapta Ta.
Ψλ47:11 εὐφρανθήτω τὸ ὄρος Σιων, ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ιουδαίας ἕνεκεν τῶν κριμάτων σου, Κύριε.	*11. Veselească-se Muntele Sionului şi să se bucure fiicele Iudeii, pentru judecăţile Tale, Doamne.*	**Ψλ47:11** Εὐφρανθήτω τὸ ὄρος Σιων, ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ιουδαίας, ἕνεκεν τῶν κριμάτων σου, Κύριε.	11. Veselească-se Muntele Sionului şi să se bucure fiicele Iudeii, pentru judecăţile Tale, Doamne.
Ψλ47:12 κυκλώσατε Σιων καὶ περιλάβετε αὐτήν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς,	*12. Înconjuraţi Sionul, şi-l cuprindeţi pe el, povestiţi în turnurile lui;*	**Ψλ47:12** Κυκλώσατε Σιων καὶ περιλάβετε αὐτήν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.	12. Înconjuraţi Sionul, şi-l cuprindeţi pe el, povestiţi în turnurile lui.
Ψλ47:13 θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.	*13. puneţi inimile voastre întru puterea lui, şi împărţiţi greutăţile lui, ca să povestiţi la alt neam.*	**Ψλ47:13** Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.	13. Puneţi inimile voastre întru puterea lui, şi împărţiţi turnurile lui, ca să povestiţi la alt neam.
Ψλ47:14 ὅτι οὗτός ἐστιν ὁ Θεὸς **ὁ Θεὸς** ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.	*14. Că acesta este Dumnezeul, Dumnezeul nostru, în veac şi în veacul veacului; acesta ne păstoreşte pe noi în veci.*	**Ψλ47:14** Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.	14. Că Acesta este Dumnezeul nostru în veac, şi în veacul veacului; Acesta ne păstoreşte pe noi în veci.
ΨΑΛΜΟΣ ΜΗ΄. Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορε ψαλμός.	*PSALMUL 48 Întru sfârşit; psalm fiilor lui Core.*	ΨΑΛΜΟΣ ΜΗ΄. Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορέ ψαλμός.	*PSALMUL 48 Întru sfârşit,, fiilor lui Core psalm.*
Ψλ48:1 Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην,	*1. Ascultaţi acestea toate neamurile, puneţi în urechi toţi cei ce lăcuiţi în lume,*	**Ψλ48:1** Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην,	1. Ascultaţi acestea, toate neamurile, puneţi în urechi toţi cei ce locuiţi în lume,
Ψλ48:2 οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.	*2. pământenii şi fiii oamenilor, împreună bogatul şi săracul.*	**Ψλ48:2** Οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.	2. pământenii şi fiii oamenilor, împreună bogatul şi săracul
Ψλ48:3 τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·	*3. Gura mea va grăi înţelepciune şi cugetul inimii mele pricepere;*	**Ψλ48:3** Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.	3. Gura mea va grăi înţelepciune, şi cugetul inimii mele pricepere.
Ψλ48:4 κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.	*4. pleca-voi în pildă urechea mea, deschide-voi în psaltire gândul meu (problema mea).*	**Ψλ48:4** Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.	4. Pleca-voi spre pildă urechea mea, deschide-voi în psaltire gândul meu (problema mea).
Ψλ48:5 ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ	*5. Pentru ce mă tem în ziua cea rea?*	**Ψλ48:5** **Ἱνατί** φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ	5. Pentru ce mă tem în ziua cea rea?

ἀνομία τῆς πτέρνης μου κυκλώσει με.	*Fărădelegea călcâiului meu mă va înconjura.*	ἀνομία τῆς πτέρνης μου κυκλώσει με.	Fărădelegea călcâiului meu mă va înconjura.
Ψλ48:6 οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι,	*6. Cei ce nădăjduiesc (se încred) spre puterea lor şi întru mulţimea bogăţiei lor se fălesc,*	**Ψλ48:6** Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι,	6. Cei ce nădăjduiesc spre puterea lor şi întru mulţimea bogăţiei lor se fălesc,
Ψλ48:7 ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ Θεῷ ἐξίλασμα αὐτοῦ	*7. fratele nu izbăveşte; au izbăvi-va omul? Nu va da lui Dumnezeu îmblânzire (mijlocul de potolire a mâniei) pentru sine*	**Ψλ48:7** ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;	7. fratele nu izbăveşte, au izbăvi-va omul?
Ψλ48:8 καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ.	*8. şi preţul răscumpărării sufletului său.*	**Ψλ48:8** Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα **ἑαυτοῦ**, καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ, καὶ ἐκόπασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.	8. Nu va da lui Dumnezeu răscumpărare pentru sine, şi preţul răscumpărării sufletului său, şi s-a ostenit în veac, şi viu va fi până în sfârşit.
Ψλ48:9 καὶ ἐκόπασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος, **ὅτι** οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνῄσκοντας.	*9. Şi s-a ostenit în veac, şi va fi viu până în sfârşit, (că) nu va vedea stricăciune; când va vedea pe cei înţelepţi murind.*	**Ψλ48:9** Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνῄσκοντας.	9. Nu va vedea stricăciune, când va vedea pe cei înţelepţi murind.
Ψλ48:10 ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν,	*10. Împreună cel nebun şi cel fără de minte vor pieri şi vor lăsa străinilor bogăţia lor,*	**Ψλ48:10** Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται, καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν.	10. Împreună cel nebun şi cel fără de minte vor pieri, şi vor lăsa străinilor bogăţia lor.
Ψλ48:11 καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα, σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν. ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.	*11. şi mormânturile lor, casele lor în veac, locaşurile lor, în neam şi în neam. Numitu-şi-au numele lor pe pământurile lor.*	**Ψλ48:11** Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα, σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.	11. Şi mormânturile lor, casele lor în veac, locaşurile lor în neam şi în neam; numitu-şi-au numele lor pe pământurile lor.
Ψλ48:12 καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.	*12. Şi omul, în cinste fiind, n-a priceput, alăturatu-s-a cu dobitoacele cele fără de minte, şi s-a asemănat lor.*	**Ψλ48:12** Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ **συνῆκε**· παρασυνεβλήθη τοῖς **κτήνεσι** τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.	12. Şi omul, în cinste fiind, n-a priceput; alăturatu-s-a cu dobitoacele cele fără de minte, şi s-a asemănat lor.
Ψλ48:13 αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.	*13. Această cale a lor sminteală este lor, şi după acestea în gura lor bine vor voi.*	**Ψλ48:13** Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.	13. Această cale a lor sminteală este lor, şi după acestea în gura lor bine vor voi.
Ψλ48:14 ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμαίνει αὐτούς· καὶ κατακυριεύσουσιν	*14. Ca nişte oi în iad s-au pus, moartea îi va paşte (păstori) pe ei; şi-i vor stăpâni pe ei cei*	**Ψλ48:14** Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμαίνει αὐτούς. **Ψλ48:15** Καὶ	14. Ca nişte oi în iad s-au pus, moartea îi va paşte pe ei. 15. Şi îi vor stăpâni pe

αὐτῶν οἱ εὐθεῖς τὸ πρωί, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ ἐκ τῆς δόξης αὐτῶν.	*drepţi dimineaţa, şi ajutorul lor se va învechi în iad, din slava lor.*	κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ **πρωΐ**, καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ, ἐκ τῆς δόξης αὐτῶν **ἐξώσθησαν**.	ei cei drepţi dimineaţa, şi ajutorul se va învechi în iad, din slava lor s-au scos.
Ψλ48:15 πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.	*15. Însă Dumnezeu va izbăvi sufletul meu din mâna iadului, când mă va apuca.*	**Ψλ48:16** Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.	16. Însă Dumnezeu va izbăvi sufletul meu din mâna iadului, când mă va apuca.
Ψλ48:16 μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ·	*16. Să nu te temi când se va îmbogăţi omul şi când se va înmulţi slava casei lui;*	**Ψλ48:17** Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.	17. Să nu te temi când se va îmbogăţi omul, sau când se va înmulţi slava casei lui.
Ψλ48:17 ὅτι οὐκ ἐν τῷ ἀποθνῄσκειν αὐτὸν λήμψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.	*17. căci, când va muri el, nu va lua toate, nici se va pogorî cu dânsul slava lui.*	**Ψλ48:18** Ὅτι οὐκ ἐν τῷ ἀποθνῄσκειν αὐτὸν λήμψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.	18. Căci când va muri el, nu va lua toate, nici se va pogorî cu dânsul slava lui.
Ψλ48:18 ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται· ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ.	*18. Că sufletul lui în viaţa lui se va binecuvânta; mărturisi-se-va Ţie când vei face bine lui.*	**Ψλ48:19** Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται· ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ.	19. Că sufletul lui în viaţa lui se va binecuvânta, mărturisi-se-va Ţie când vei face bine lui.
Ψλ48:19 εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς.	*19. Intra-va până la neamul părinţilor săi, până în veac nu va vedea lumină.*	**Ψλ48:20** Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς.	20. Va intra până la neamul părinţilor săi; până în veac nu va vedea lumină.
Ψλ48:20 ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.	*20. Omul în cinste fiind nu a priceput, alăturatu-s-a cu dobitoacele cele fără de minte, şi s-a asemănat lor.*	**Ψλ48:21** **Καὶ** ἄνθρωπος ἐν τιμῇ ὢν οὐ **συνῆκε**· παρασυνεβλήθη τοῖς **κτήνεσι** τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. Δόξα...	21. Şi omul, în cinste fiind, n-a priceput, alăturatu-s-a cu dobitoacele cele fără de minte, şi s-a asemănat lor. Slavă…
ΨΑΛΜΟΣ ΜΘ΄. Ψαλμὸς τῷ Ασαφ.	*PSALMUL 49* *Psalm al lui Asaf.*	ΨΑΛΜΟΣ ΜΘ΄. Ψαλμὸς τῷ Ἀσάφ.	*PSALMUL 49* *Psalm al lui Asaf.*
Ψλ49:1 Θεὸς θεῶν Κύριος ἐλάλησεν καὶ ἐκάλεσεν τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν.	*1. Dumnezeul Dumnezeilor, Domnul a grăit şi a chemat pământul de la răsăriturile soarelui până la apusuri.*	**Ψλ49:1** Θεὸς θεῶν Κύριος **ἐλάλησε** καὶ **ἐκάλεσε** τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν.	1. Dumnezeul Dumnezeilor, Domnul a grăit şi a chemat pământul, de la răsăriturile soarelui până la apusuri.
Ψλ49:2 ἐκ Σιων ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ, ὁ Θεὸς ἐμφανῶς ἥξει,	*2. Din Sion este bună-cuviinţa frumuseţii Lui, Dumnezeu arătat va veni,*	**Ψλ49:2** Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. **Ψλ49:3** Ὁ Θεὸς	2. Din Sion este bună-cuviinţa frumuseţii Lui. 3. Dumnezeu arătat va

Ψλ49:3 ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.	*3. Dumnezeul nostru, şi nu va tăcea; foc înaintea Lui va arde, şi împrejurul Lui vifor foarte.*	ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. **Ψλ49:4** Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.	veni, Dumnezeul nostru, şi nu va tăcea. 4. Foc înaintea Lui va arde, şi împrejurul Lui, vifor foarte.
Ψλ49:4 προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ·	*4. Chema-va cerul de sus şi pământul, ca să aleagă pe poporul Său;*	**Ψλ49:5** Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, **τοῦ** διακρῖναι τὸν λαὸν αὐτοῦ.	5. Chema-va cerul de sus şi pământul, ca să aleagă pe poporul Său.
Ψλ49:5 συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις,	*5. adunaţi-I Lui pe cuvioşii Lui, pe cei ce aşează Aşezământul de lege al Lui pentru jertfe,*	**Ψλ49:6** Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.	6. Adunaţi-I Lui pe cuvioşii Lui, pe cei ce aşează Aşezământul de lege al Lui pentru jertfe.
Ψλ49:6 καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν.	*6. şi vor vesti cerurile dreptatea Lui, că Dumnezeu judecător este.*	**Ψλ49:7** Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν.	7. Şi vor vesti cerurile dreptatea Lui, că Dumnezeu judecător este.
Ψλ49:7 Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι· ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ.	*7. Ascultă, poporul Meu, şi voi grăi ţie, Israile, şi voi mărturisi ţie: Dumnezeu, Dumnezeul tău sunt Eu.*	**Ψλ49:8** Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι· Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι· ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ.	8. Ascultă, poporul Meu, şi voi grăi ţie, Israile, şi voi mărturisi ţie: Dumnezeu, Dumnezeul tău sunt Eu!
Ψλ49:8 οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστιν διὰ παντός·	*8. Nu pentru jertfele tale te voi mustra; şi (iar) arderile (cele) de tot ale tale înaintea Mea sunt pururi;*	**Ψλ49:9** Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού **ἐστι διαπαντός**·	9. Nu pentru jertfele tale te voi mustra; şi arderile de tot ale tale înaintea Mea sunt pururea .
Ψλ49:9 οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.	*9. nu voi primi din casa ta viţei, nici din turmele tale ţapi.*	**Ψλ49:10** Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.	10. Nu voi primi din casa ta viţei, nici din turmele tale ţapi.
Ψλ49:10 ὅτι ἐμά ἐστιν πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσιν καὶ βόες·	*10. Că ale Mele sunt toate fiarele câmpului, dobitoacele în munţi şi boii;*	**Ψλ49:11** Ὅτι ἐμά **ἐστι** πάντα τὰ θηρία τοῦ **ἀγροῦ**, κτήνη ἐν τοῖς **ὄρεσι** καὶ βόες·	11. Că ale Mele sunt toate fiarele ţarinilor, dobitoacele din munţi şi boii.
Ψλ49:11 ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ᾽ ἐμοῦ ἐστιν.	*11. cunoscut-am toate pasările cerului, şi frumuseţea ţarinilor cu Mine este.*	**Ψλ49:12** Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ᾽ ἐμοῦ ἐστιν.	12. Cunoscut-am toate păsările cerului, şi frumuseţea ţarinilor cu Mine este.
Ψλ49:12 ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.	*12. De voi flămânzi, nu voi zice ţie, că a Mea este lumea şi plinirea ei.*	**Ψλ49:13** Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.	13. De voi flămânzi, nu voi zice ţie, că a Mea este lumea şi plinirea ei.
Ψλ49:13 μὴ φάγομαι	*13. Au doară voi mânca*	**Ψλ49:14** Μὴ φάγομαι	14. Au doară voi mânca

κρέα ταύρων ἢ αἷμα τράγων πίομαι;	*carne de tauri? Sau sânge de ţapi voi bea?*	κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;	carne de tauri, sau sânge de ţapi voi bea?
Ψλ49:14 θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου·	*14. Jertfeşte lui Dumnezeu jertfă de laudă, şi dă Celui Preaînalt rugile tale;*	**Ψλ49:15** Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου.	15. Jertfeşte lui Dumnezeu jertfă de laudă, şi dă Celui Preaînalt rugile tale.
Ψλ49:15 καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.	*15. şi Mă cheamă pe Mine în ziua necazului tău, şi te voi scoate şi Mă vei proslăvi.*	**Ψλ49:16** Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.	16. Şi Mă cheamă pe Mine în ziua necazului tău, şi te voi scoate şi Mă vei proslăvi.
Ψλ49:16 τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;	*16. Iar păcătosului i-a zis Dumnezeu: Pentru ce tu povesteşti dreptăţile Mele şi iei aşezământul Meu de lege prin gura ta?*	**Ψλ49:17** Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· **Ἱνατί** σὺ **ἐκδιηγῇ** τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;	17. Iar păcătosului i-a zis Dumnezeu: Pentru ce tu povesteşti dreptăţile Mele şi iei aşezământul Meu de lege în gura ta?
Ψλ49:17 σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.	*17. Iar tu ai urât învăţătura şi ai lepădat cuvintele Mele înapoi.*	**Ψλ49:18** Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.	18. Iar tu ai urât învăţătura, şi ai lepădat cuvintele Mele înapoi.
Ψλ49:18 εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις·	*18. De vedeai furul, alergai cu el, şi cu cel preacurvar partea ta puneai.*	**Ψλ49:19** Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις.	19. De vedeai furul, alergai cu el, şi cu cel preacurvar partea ta puneai.
Ψλ49:19 τὸ στόμα σου ἐπλεόνασεν κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκεν δολιότητα·	*19. Gura ta a înmulţit răutatea, şi limba ta a împletit vicleşuguri;*	**Ψλ49:20** Τὸ στόμα σου ἐπλεόνασεν κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκεν **δολιότητας**.	20. Gura ta a înmulţit răutatea, şi limba ta a împletit vicleşug.
Ψλ49:20 καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.	*20. şezând, împotriva fratelui tău ai clevetit, şi împotriva fiului maicii tale ai pus sminteală.*	**Ψλ49:21** Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.	21. Şezând, împotriva fratelui tău ai clevetit, şi împotriva fiului maicii tale ai pus sminteală.
Ψλ49:21 ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου.	*21. Acestea ai făcut şi am tăcut; ai socotit fărădelege, că voi fi ţie asemenea; mustra-te-voi şi voi pune înaintea feţei tale păcatele tale.*	**Ψλ49:22** Ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου **τὰς ἁμαρτίας σου**.	22. Acestea ai făcut, şi am tăcut; ai socotit nelegiuire, că voi fi asemenea ţie; mustra-te-voi şi voi pune înaintea feţei tale păcatele tale.
Ψλ49:22 σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ καὶ μὴ ᾖ ὁ ῥυόμενος·	*22. Înţelegeţi dar acestea, cei ce uitaţi pe Dumnezeu, ca nu cumva (cândva) să răpească, şi nu va fi cel ce izbăveşte;*	**Ψλ49:23** Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ καὶ μὴ ᾖ ὁ ῥυόμενος.	23. Înţelegeţi dar acestea, cei ce uitaţi pe Dumnezeu, ca nu cumva să răpească, şi nu va fi cel ce izbăveşte.
Ψλ49:23 θυσία αἰνέσεως δοξάσει με,	*23. jertfa laudei Mă va slăvi, şi acolo este calea*	**Ψλ49:24** Θυσία αἰνέσεως δοξάσει με,	24. Jertfa laudei Mă va slăvi, şi acolo este calea

καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτῷ τὸ σωτήριον τοῦ Θεοῦ.	*în care voi arăta lui mântuirea lui Dumnezeu.*	καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτῷ τὸ **σωτήριόν μου**.	în care voi arăta lui mântuirea Mea.
ΨΑΛΜΟΣ Ν΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ. Ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Ναθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθεν πρὸς Βηρσαβεε.	*PSALMUL 50* *Întru sfârşit; psalm al lui David. În vremea când a intrat la dânsul Natan Proorocul, după ce intrase la Batşeba.*	ΨΑΛΜΟΣ Ν΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ, ἐν τῷ **εἰσελθεῖν** πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα **εἰσῆλθε** πρὸς Βηρσαβεὲ τὴν γυναῖκα Οὐρίου.	*PSALMUL 50* *Întru sfârşit; psalm al lui David, când a intrat la dânsul Natan Proorocul, după ce intrase la Batşeba, femeia lui Urie.*
Ψλ50:1 Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·	*1. Miluieşte-mă, Dumnezeule, după mare mila Ta şi după mulţimea îndurărilor Tale şterge fărădelegea mea;*	**Ψλ50:1** Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.	1. Miluieşte-mă, Dumnezeule, după mare mila Ta, şi după mulţimea îndurărilor Tale, şterge fărădelegea mea.
Ψλ50:2 ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.	*2. Mai vârtos mă spală de fărădelegea mea şi de păcatul meu mă curăţeşte.*	**Ψλ50:2** Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.	2. Mai vârtos mă spală de fărădelegea mea, şi de păcatul meu mă curăţeşte.
Ψλ50:3 ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.	*3. Că fărădelegea mea eu o cunosc, şi păcatul meu înaintea mea este pururea.*	**Ψλ50:3** Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού **ἐστι διαπαντός**.	3. Că fărădelegea mea eu o cunosc, şi păcatul meu înaintea mea este pururea.
Ψλ50:4 σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.	*4. Ţie Unuia am greşit, şi rău (vicleşug) înaintea Ta am făcut, ca să Te îndreptezi întru cuvintele Tale şi să biruieşti când Te vei judeca Tu.*	**Ψλ50:4** Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.	4. Ţie Unuia am greşit, şi rău înaintea Ta am făcut, ca să Te îndreptezi întru cuvintele Tale şi să biruieşti când Te vei judeca Tu.
Ψλ50:5 ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου.	*5. Că iată întru fărădelegi m-am zămislit, şi întru păcate m-a născut maica mea.*	**Ψλ50:5** Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην, καὶ ἐν ἁμαρτίαις **ἐκίσσησέ** με ἡ μήτηρ μου.	5. Că iată, întru fărădelegi m-am zămislit, şi întru păcate m-a născut maica mea.
Ψλ50:6 ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.	*6. Că iată, adevărul ai iubit, cele nearătate şi cele ascunse ale înţelepciunii Tale mi-ai arătat mie.*	**Ψλ50:6** Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.	6. Că iată, adevărul ai iubit, cele nearătate şi cele ascunse ale înţelepciunii Tale mi-ai arătat mie.
Ψλ50:7 ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.	*7. Stropi-mă-vei cu isop, şi mă voi curăţi; spăla-mă-vei, şi mai vârtos decât zăpada mă voi albi.*	**Ψλ50:7** Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.	7. Stropi-mă-vei cu isop, şi mă voi curăţa; spăla-mă-vei, şi mai vârtos decât zăpada mă voi albi.

Ψλ50:8 ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.	*8. Auzului meu vei da bucurie şi veselie, bucura-se-vor oasele mele cele smerite.*	**Ψλ50:8** Ἀκουτιεῖς **μοι** ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται **ὀστέα** τεταπεινωμένα.	8. Auzului meu vei da bucurie şi veselie, bucura-se-vor oasele mele cele smerite.
Ψλ50:9 ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.	*9. Întoarce faţa Ta de către păcatele mele, şi toate fărădelegile mele şterge-le.*	**Ψλ50:9** Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.	9. Întoarce faţa Ta de către păcatele mele, şi toate fărădelegile mele şterge-le.
Ψλ50:10 καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.	*10. Inimă curată zideşte întru mine, Dumnezeule, şi duh drept înnoieşte întru cele dinlăuntru ale mele.*	**Ψλ50:10** Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.	10. Inimă curată zideşte întru mine, Dumnezeule, şi duh drept înnoieşte întru cele dinlăuntru ale mele.
Ψλ50:11 μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.	*11. Nu mă lepăda de la faţa Ta, şi Duhul Tău Cel Sfânt nu-L lua de la mine.*	**Ψλ50:11** Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμα σου τὸ ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.	11. Nu mă lepăda de la faţa Ta, şi Duhul Tău Cel Sfânt nu-L lua de la mine.
Ψλ50:12 ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήρισόν με.	*12. Dă-mi mie (înapoi) bucuria mântuirii Tale, şi cu duh stăpânitor mă întăreşte.*	**Ψλ50:12** Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήρισόν με.	12. Dă-mi mie bucuria mântuirii Tale, şi cu duh stăpânitor mă întăreşte.
Ψλ50:13 διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.	*13. Învăţa-voi pe cei fărădelege căile Tale, şi cei necinstitori la Tine se vor întoarce.*	**Ψλ50:13** Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ **ἐπιστρέψουσι**.	13. Învăţa-voi pe cei fărădelege căile Tale, şi cei necinstitori la Tine se vor întoarce.
Ψλ50:14 ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.	*14. Izbăveşte-mă de (din) sângiuri, Dumnezeule, Dumnezeul mântuirii mele; bucura-se-va limba mea de dreptatea Ta.*	**Ψλ50:14** Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.	14. Izbăveşte-mă de sângiuri, Dumnezeule, Dumnezeul mântuirii mele; bucura-se-va limba mea de dreptatea Ta.
Ψλ50:15 Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.	*15. Doamne, buzele mele vei deschide, şi gura mea va vesti lauda Ta.*	**Ψλ50:15** Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.	15. Doamne, buzele mele vei deschide, şi gura mea va vesti lauda Ta.
Ψλ50:16 ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.	*16. Că de ai fi voit jertfă, Ţi-aş fi dat; arderile de tot nu le vei binevoi.*	**Ψλ50:16** Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.	16. Că de a fi voit jertfă, Ţi-aş fi dat; arderile de tot nu le vei binevoi.
Ψλ50:17 θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξ ουθενώσει.	*17. Jertfa lui Dumnezeu, duhul umilit (zdrobit), inima înfrântă (zdrobită) şi smerită Dumnezeu nu o va*	**Ψλ50:17** Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ **ἐξουδενώσει**.	17. Jertfa lui Dumnezeu duhul zdrobit, inima zdrobită şi smerită Dumnezeu nu o va defăima.

	urgisi (defăima).		
Ψλ50:18 ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων, καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ·	*18. Fă bine, Doamne, întru bunăvoirea Ta, Sionului, şi să se zidească zidurile Ierusalimului;*	Ψλ50:18 Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων, καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ.	18. Fă bine, Doamne, întru bunăvoirea Ta, Sionului, şi să se zidească zidurile Ierusalimului.
Ψλ50:19 τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.	*19. Atunci vei binevoi jertfa dreptăţii, prinosul şi arderile de tot; atuncea vor pune pe altarul Tău viţei.*	Ψλ50:19 Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.	19. Atunci vei binevoi jertfa dreptăţii, prinosul şi arderile de tot.
		Ψλ50:20 Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.	20. Atunci vor pune pe altarul Tău viţei.
		Δόξα...	Slavă…
ΨΑΛΜΟΣ ΝΑ΄. Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυῒδ ἐν τῷ ἐλθεῖν Δωηκ τὸν Ιδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαουλ καὶ εἰπεῖν αὐτῷ Ἦλθεν Δαυῒδ εἰς τὸν οἶκον Αβιμελεχ.	*PSALMUL 51* *Întru sfârşit, de înţelegere lui David, când a venit Doic Idumeul şi a vestit lui Saul, zicând lui: Venit-a David în casa lui Abimelec.*	ΨΑΛΜΟΣ ΝΑ΄. Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυῒδ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ· **Ἦλθε** Δαυῒδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.	*PSALMUL 51* *Întru sfârşit, de înţelegere lui David, când a venit Doic Idumeul şi a vestit lui Saul, zicând lui: Venit-a David în casa lui Abimelec.*
Ψλ51:1 Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός, ἀνομίαν ὅλην τὴν ἡμέραν;	*1. Ce te făleşti întru răutate puternice, fărădelege toată ziua?*	Ψλ51:1 Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός, ἀνομίαν ὅλην τὴν ἡμέραν;	1. Ce te făleşti întru răutate, puternice, fărădelege toată ziua?
Ψλ51:2 ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.	*2. Nedreptate a gândit limba ta; ca un brici ascuţit ai făcut vicleşug.*	Ψλ51:2 Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου, ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.	2. Nedreptate a gândit limba ta, ca un brici ascuţit ai făcut vicleşug.
Ψλ51:3 ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.	*3. Iubit-ai răutatea, mai mult decât bunătatea; nedreptatea mai vârtos decât a grăi dreptate.*	Ψλ51:3 Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.	3. Iubit-ai răutatea mai mult decât bunătatea; nedreptatea mai vârtos decât a grăi dreptate.
Ψλ51:4 ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.	*4. Iubit-ai toate cuvintele pierzării, limbă vicleană.*	Ψλ51:4 Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.	4. Iubit-ai toate cuvintele pierzării, limbă vicleană.
Ψλ51:5 διὰ τοῦτο ὁ Θεὸς καθελεῖ σε εἰς τέλος· ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματος καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.	*5. Pentru aceasta Dumnezeu te va sfărâma până în sfârşit; smulge-te-va şi te va muta de la locaş, şi rădăcina ta din pământul celor vii.*	Ψλ51:5 Διὰ τοῦτο ὁ Θεὸς **καθέλοι** σε εἰς τέλος· ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ **σκηνώματός σου**, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.	5. Pentru aceasta Dumnezeu te va sfărâma până în sfârşit; smulge-te-va şi te va muta de la locaşul tău, şi rădăcina ta din pământul celor vii.

Ψλ51:6 καὶ ὄψονται δίκαιοι καὶ φοβηθήσονται καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν·	*6. Şi vedea-vor drepţii şi se vor teme, şi de dânsul vor râde şi vor zice:*	**Ψλ51:6** Ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν·	6. Vedea-vor drepţii şi se vor teme, şi de dânsul vor râde şi vor zice:
Ψλ51:7 Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ καὶ ἐδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.	*7. Iată omul, care nu a pus pe Dumnezeu ajutorul luişi, ci a nădăjduit spre mulţimea bogăţiei sale, şi s-a întărit întru deşertăciunea sa.*	**Ψλ51:7** Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.	7. Iată omul care nu a pus pe Dumnezeu ajutor luişi, ci a nădăjduit spre mulţimea bogăţiei sale, şi s-a întărit întru deşertăciunea sa.
Ψλ51:8 ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*8. Iar eu ca un măslin roditor în casa lui Dumnezeu; nădăjduit-am spre mila lui Dumnezeu în veac şi în veacul veacului.*	**Ψλ51:8** Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	8. Iar eu ca un măslin roditor în casa lui Dumnezeu, nădăjduit-am spre mila lui Dumnezeu în veac, şi în veacul veacului.
Ψλ51:9 ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.	*9. Mărturisi-mă-voi Ţie în veac, că ai făcut, şi voi aştepta numele Tău, că este bun înaintea cuvioşilor Tăi.*	**Ψλ51:9** Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.	9. Mărturisi-mă-voi Ţie în veac, că ai făcut, şi voi aştepta numele Tău, că este bun înaintea cuvioşilor Tăi.
ΨΑΛΜΟΣ ΝΒ΄. Εἰς τὸ τέλος, ὑπὲρ μαελεθ· συνέσεως τῷ Δαυΐδ.	*PSALMUL 52 Întru sfârşit, pentru Maelet, de înţelegere lui David.*	ΨΑΛΜΟΣ ΝΒ΄. Εἰς τὸ τέλος, ὑπὲρ μαελέθ· συνέσεως τῷ Δαυΐδ.	*PSALMUL 52 Întru sfârşit, pentru Maelet, de înţelegere lui David.*
Ψλ52:1 Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστιν Θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστιν ποιῶν ἀγαθόν.	*1. Zis-a cel nebun întru inima sa: nu este Dumnezeu. Stricatu-s-au şi urâţi s-au făcut întru fărădelegi; nu este cel ce face bine.*	**Ψλ52:1** Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ **ἔστι** Θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ **ἔστι** ποιῶν ἀγαθόν.	1. Zis-a cel nebun întru inima sa: Nu este Dumnezeu. Stricatu-s-au şi urâţi s-au făcut întru fărădelegi, nu este cel ce face bunătate.
Ψλ52:2 ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστιν συνίων ἢ ἐκζητῶν τὸν Θεόν.	*2. Dumnezeu din cer s-a uitat peste fiii oamenilor, ca să vadă de este cel ce înţelege, sau cel ce caută pe Dumnezeu.*	**Ψλ52:2** Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ **ἔστι** συνίων ἢ ἐκζητῶν τὸν Θεόν.	2. Dumnezeu din cer s-a uitat peste fiii oamenilor, ca să vadă de este cel ce înţelege sau cel ce caută pe Dumnezeu.
Ψλ52:3 πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν, οὐκ ἔστιν ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.	*3. Toţi s-au abătut, împreună netrebnici s-au făcut, nu este cel ce face bine, nu este până la unul.*	**Ψλ52:3** Πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν, οὐκ **ἔστι** ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.	3. Toţi s-au abătut, împreună netrebnici s-au făcut; nu este cel ce face bine, nu este până la unul.
Ψλ52:4 οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι	*4. Au nu vor cunoaşte toţi cei ce lucrează*	**Ψλ52:4** Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι	4. Au nu vor cunoaşte toţi cei ce lucrează

τὴν ἀνομίαν; οἱ ἔσθοντες τὸν λαόν μου βρώσει ἄρτου τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο.	*fărădelegea? Cei ce mănâncă pe poporul Meu întru mâncare de pâine pe Dumnezeu nu L-au chemat.*	τὴν ἀνομίαν, οἱ **κατεσθίοντες** τὸν λαόν μου **ἐν** βρώσει ἄρτου;	fărădelegea, cei ce mănâncă pe poporul Meu întru mâncare de pâine?
Ψλ52:5 ἐκεῖ φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος, ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.	*5. Acolo s-au temut de frică, unde nu era frică, că Dumnezeu a risipit oasele celor ce plac oamenilor; ruşinatu-s-au, că Dumnezeu i-a defăimat pe ei.*	**Ψλ52:5** **Τὸν Κύριον** οὐκ ἐπεκαλέσαντο· ἐκεῖ **ἐφοβήθησαν** φόβον, οὗ οὐκ ἦν φόβος. **Ψλ52:6** Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.	5. Pe Domnul nu L-au chemat; acolo s-au temut de frică unde nu era frică. 6. Că Dumnezeu a risipit oasele celor ce plac oamenilor; ruşinatu-s-au, că Dumnezeu i-a defăimat pe ei.
Ψλ52:6 τίς δώσει ἐκ Σιων τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.	*6. Cine va da din Sion mântuire lui Israel? Când va întoarce Domnul robia poporului Său, bucura-se-va Iacov şi se va veseli Israel.*	**Ψλ52:7** Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ.	7. Cine va da din Sion mântuire lui Israel? Când va întoarce Dumnezeu robia poporului Său, bucura-se-va Iacov şi se va veseli Israel.
ΨΑΛΜΟΣ ΝΓ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυῒδ ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαουλ Οὐκ ἰδοὺ Δαυῒδ κέκρυπται παρ’ ἡμῖν;	*PSALMUL 53* *Întru sfârşit, întru laudele de înţelegere ale lui David, când au venit zifeii şi au zis lui Saul: Au nu, iată, David s-a ascuns la noi?*	ΨΑΛΜΟΣ ΝΓ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυῒδ, ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ· Οὐκ ἰδοὺ Δαυῒδ κέκρυπται παρ’ ἡμῖν;	*PSALMUL 53* *Întru sfârşit, întru laudele de înţelegere ale lui David, când au venit zifeii şi au zis lui Saul: Au nu, iată, David s-a ascuns la noi?*
Ψλ53:1 Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με.	*1. Dumnezeule, întru numele Tău mântuieşte-mă, şi întru puterea Ta mă judecă.*	**Ψλ53:1** Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου **κρινεῖς** με.	1. Dumnezeule, întru numele Tău mântuieşte-mă, şi întru puterea Ta mă judecă.
Ψλ53:2 ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.	*2. Dumnezeule, ascultă rugăciunea mea, ia în urechi graiurile gurii mele.*	**Ψλ53:2** Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.	2. Dumnezeule, ascultă rugăciunea mea, ia în urechi graiurile gurii mele.
Ψλ53:3 ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ’ ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου· οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.	*3. Că străinii s-au sculat asupra mea, şi cei tari au căutat sufletul meu; nu au pus pe Dumnezeu înaintea lor.*	**Ψλ53:3** Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ’ ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.	3. Că străini s-au sculat asupra mea, şi cei tari au căutat sufletul meu, şi nu au pus pe Dumnezeu înaintea lor.
Ψλ53:4 ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήμπτωρ τῆς ψυχῆς μου.	*4. Că, iată, Dumnezeu ajută mie şi Domnul este sprijinitorul sufletului meu.*	**Ψλ53:4** Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήμπτωρ τῆς ψυχῆς μου.	4. Că, iată, Dumnezeu ajută mie, şi Domnul este sprijinitorul sufletului meu.

Ψλ53:5 ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· ἐν τῇ ἀληθείᾳ σου ἐξολέθρευσον αὐτούς.	*5. Întoarce-va cele rele vrăjmaşilor mei; întru adevărul Tău pierde-i pe ei.*	**Ψλ53:5** Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· ἐν τῇ ἀληθείᾳ σου ἐξολέθρευσον αὐτούς.	5. Întoarce-va cele rele vrăjmaşilor mei; întru adevărul Tău pierde-i pe ei.
Ψλ53:6 ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν·	*6. De bună voie voi jertfi Ţie, mărturisi-mă-voi numelui Tău, Doamne, că este bun;*	**Ψλ53:6** Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν.	6. De bună voie voi jertfi Ţie, mărturisi-mă-voi numelui Tău, Doamne, că este bun.
Ψλ53:7 ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.	*7. că din tot necazul m-ai izbăvit, şi spre vrăjmaşii mei a privit ochiul meu.*	**Ψλ53:7** Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.	7. Că din tot necazul m-ai izbăvit; şi spre vrăjmaşii mei a privit ochiul meu.
ΨΑΛΜΟΣ ΝΔ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυΐδ.	*PSALMUL 54* *Întru sfârşit, întru laude, de înţelegere lui David.*	ΨΑΛΜΟΣ ΝΔ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυΐδ.	*PSALMUL 54* *Întru sfârşit, întru laude; de înţelegere lui David.*
Ψλ54:1 Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχὴν μου καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου,	*1. Ia în urechi, Dumnezeule, rugăciunea mea şi nu trece cu vederea cererea mea,*	**Ψλ54:1** Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχὴν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι καὶ εἰσάκουσόν μου.	1. Ia în urechi, Dumnezeule, rugăciunea mea, şi nu trece cu vederea ruga mea; ia aminte spre mine şi mă ascultă.
Ψλ54:2 πρόσχες μοι καὶ εἰσάκουσόν μου. ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐταράχθην	*2. ia aminte spre mine şi mă ascultă. Mâhnitu-m-am întru îndelnicirea mea şi m-am tulburat*	**Ψλ54:2** Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.	2. Mâhnitu-m-am întru îndelnicirea mea, şi m-am tulburat de către glasul vrăjmaşului şi de necazul păcătosului.
Ψλ54:3 ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ, ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.	*3. de glasul vrăjmaşului şi de necazul păcătosului, că a abătut asupra mea fărădelege şi întru mânie m-a vrăjmăşit.*	**Ψλ54:3** Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.	3. Că a abătut asupra mea fărădelege, şi întru mânie mă vrăjmăşea.
Ψλ54:4 ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ·	*4. Inima mea s-a tulburat întru mine, şi frica morţii a căzut asupra mea;*	**Ψλ54:4** Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.	4. Inima mea s-a tulburat întru mine, şi frica morţii a căzut asupra mea.
Ψλ54:5 φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ ἐκάλυψέν με σκότος.	*5. temere şi cutremur a căzut asupra mea, şi m-a acoperit întunericul.*	**Ψλ54:5** Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ **ἐκάλυψέ** με σκότος.	5. Temere şi cutremur au venit asupra mea, şi m-a acoperit întunericul.
Ψλ54:6 καὶ εἶπα Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω;	*6. Şi am zis: cine-mi va da mie aripi ca de porumbel şi voi zbura şi mă voi odihni?*	**Ψλ54:6** Καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω;	6. Şi am zis: Cine-mi va da mie aripi ca de porumbel şi voi zbura şi mă voi odihni?
Ψλ54:7 ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.	*7. Iată, m-am depărtat fugind, şi m-am sălăşluit în pustie.*	**Ψλ54:7** Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.	7. Iată, m-am depărtat fugind, şi m-am sălăşluit în pustie.

Ψλ54:8 προσεδεχόμην τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος.	*8. Aşteptat-am pe Cel ce mă mântuieşte de împuţinarea sufletului şi de vifor.*	**Ψλ54:8** Προσεδεχόμην **τὸν Θεὸν**, τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος.	8. Aşteptat-am pe Dumnezeu, Cel ce mă mântuieşte de împuţinarea sufletului şi de vifor.
Ψλ54:9 καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.	*9. Potopeşte, Doamne, şi împarte limbile lor, că am văzut fărădelege şi pricire în cetate.*	**Ψλ54:9** Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.	9. Potopeşte, Doamne, şi împarte limbile lor, că am văzut fărădelege şi împotrivă grăire în cetate.
Ψλ54:10 ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία,	*10. Ziua şi noaptea o va înconjura pe ea peste zidurile ei, fărădelegea şi osteneala, în mijlocul ei, şi nedreptatea.*	**Ψλ54:10** Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, **καὶ** ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.	10. Ziua şi noaptea o va înconjura pe ea peste zidurile ei, şi fărădelegea şi osteneala în mijlocul ei, şi nedreptatea, şi nu a lipsit din uliţele ei camăta şi vicleşugul.
Ψλ54:11 καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.	*11. Şi nu a lipsit din uliţele ei camăta şi vicleşugul.*		
Ψλ54:12 ὅτι εἰ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.	*12. Că de m-ar fi ocărât vrăjmaşul, aş fi răbdat, şi cel ce mă urăşte, de ar fi grăit mari asupra mea, m-aş fi ascuns de dânsul.*	**Ψλ54:11** Ὅτι εἰ ὁ ἐχθρὸς **ὠνείδισέ** με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.	11. Că de m-ar fi ocărât vrăjmaşul, aş fi răbdat, şi cel ce mă urăşte, de ar fi grăit mari asupra mea, m-aş fi ascuns de dânsul.
Ψλ54:13 σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου,	*13. Iar tu, omule, cel întocmai la suflet, dregătorul meu şi cunoscutul meu,*	**Ψλ54:12** Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου,	12. Iar tu, omule, cel întocmai la suflet, dregătorul meu şi cunoscutul meu,
Ψλ54:14 ὃς ἐπὶ τὸ αὐτό μοι ἐγλύκανας ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ·	*14. Care împreună cu Mine te-ai îndulcit în mâncări, în casa lui Dumnezeu am umblat într-un gând;*	**Ψλ54:13** ὃς ἐπὶ τὸ αὐτό μοι ἐγλύκανας ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.	13. carele împreună cu Mine te-ai îndulcit în mâncări, în casa lui Dumnezeu am umblat într-un gând.
Ψλ54:15 ἐλθέτω θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες, ὅτι πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν.	*15. să vie dar moartea peste ei, şi să se pogoare în iad de vii, că vicleşug este în locaşurile lor, în mijlocul lor.*	**Ψλ54:14** Ἐλθέτω **δὴ** θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες, ὅτι πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.	14. Să vie dar moartea peste ei, şi să se coboare în iad de vii, că vicleşug este în locaşurile lor, în mijlocul lor.
Ψλ54:16 ἐγὼ **δὲ** πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέν μου.	*16. Iar eu către Dumnezeu am strigat şi Domnul m-a auzit pe mine.*	**Ψλ54:15** Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος **εἰσήκουσέ** μου.	15. Eu către Dumnezeu am strigat, şi Domnul m-a auzit pe mine.
Ψλ54:17 ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι· ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.	*17. Seara şi dimineaţa şi la amiază-zi spune-voi; vesti-voi (povesti-voi), şi va auzi glasul meu.*	**Ψλ54:16** Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.	16. Seara şi dimineaţa şi la amiază-zi spune-voi şi voi povesti, şi va auzi glasul meu.

Ψλ54:18 λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.	*18. Izbăvi-va cu pace sufletul meu de cei ce se apropie de mine, că întru mulţi era cu mine.*	**Ψλ54:17** Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.	17. Izbăvi-va cu pace sufletul meu de cei ce se apropie de mine, că întru mulţi erau cu mine.
Ψλ54:19 εἰσακούσεται ὁ Θεὸς καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν.	*19. Auzi-va Dumnezeu, şi-i va smeri pe dânşii, Cel ce este mai înainte de veci. Că nu este lor schimbare, că nu s-au temut de Dumnezeu.*	**Ψλ54:18** Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. **Ψλ54:19** Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν.	18. Auzi-va Dumnezeu, şi-i va smeri pe dânşii, Cel ce este mai-nainte de veci. 19. Că nu este lor schimbare, că nu s-au temut de Dumnezeu,
Ψλ54:20 ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ.	*20. Întins-a mâna Sa spre răsplătire; spurcat-au aşezământul Lui.*	**Ψλ54:20** Ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ.	20. Întins-a mâna Sa spre răsplătire; spurcat-au aşezământul Lui.
Ψλ54:21 διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισεν ἡ καρδία αὐτοῦ· ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσιν βολίδες.	*21. Împărţitu-s-au de mânia feţei Lui, şi s-au apropiat inimile lor; muiatu-s-au cuvintele lor mai mult decât untuldelemn, şi acelea sunt săgeţi.*	**Ψλ54:21** Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ **ἤγγισαν αἱ καρδίαι αὐτῶν.** **Ψλ54:22** Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί **εἰσι** βολίδες.	21. Împrăştiatu-s-au de mânia feţei Lui, şi s-au apropiat inimile lor. 22. Muiatu-s-au cuvintele lor mai mult decât untuldelemn, şi acelea sunt săgeţi.
Ψλ54:22 ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.	*22. Aruncă spre Domnul grija ta, şi El te va hrăni; nu va da în veac clătinare dreptului.*	**Ψλ54:23** Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.	23. Aruncă spre Domnul grija ta, şi El te va hrăni; nu va da în veac clătinare dreptului.
Ψλ54:23 σὺ δέ, ὁ Θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς· ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν. ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ, Κύριε.	*23. Iar Tu, Dumnezeule, pogorî-vei pe dânşii în puţul stricăciunii; bărbaţii sângiurilor şi ai vicleşugului nu-şi vor înjumătăţi zilele lor. Iar eu voi nădăjdui spre Tine, Doamne.*	**Ψλ54:24** Σὺ δέ, ὁ Θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. **Ψλ54:25** Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ **ἡμισεύσωσι** τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ, Κύριε, ἐλπιῶ ἐπὶ σέ. Δόξα...	24. Iar Tu, Dumnezeule, pogorî-vei pe dânşii în groapa stricăciunii. 25. Bărbaţii sângiurilor şi ai vicleşugului nu-şi vor înjumătăţi zilele lor; iar eu, Doamne, voi nădăjdui spre Tine. Slavă…
ΨΑΛΜΟΣ ΝΕ΄. Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαυῒδ εἰς	*PSALMUL 55* *Întru sfârşit, pentru poporul ce se depărtase de la cele sfinte; a lui David, spre inscripţia*	ΚΑΘΙΣΜΑ ΟΓΔΟΟΝ ΨΑΛΜΟΣ ΝΕ΄. Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαυῒδ εἰς	Catisma a opta *PSALMUL 55* *Întru sfârşit, pentru poporul ce se depărtase de la cele sfinte; a lui David, spre inscripţia*

στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γεθ.	*stâlpului, când l-au prins pe el cei de alt neam în Ghet.*	στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.	*stâlpului, când l-au prins pe el cei de alt neam în Ghet.*
Ψλ55:1 Ἐλέησόν με, Κύριε, ὅτι κατεπάτησέν με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέν με.	*1. Miluieşte-mă, Dumnezeule, că m-a călcat omul, toată ziua dând război (războind) m-a necăjit.*	**Ψλ55:1** Ἐλέησόν με, **ὁ Θεὸς**, ὅτι **κατεπάτησέ** με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν **ἔθλιψέ** με.	1. Miluieşte-mă, Dumnezeule, că m-a călcat omul, toată ziua dând război m-a necăjit.
Ψλ55:2 κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.	*2. Călcatu-m-au vrăjmaşii mei toată ziua, că mulţi sunt cei ce se luptă cu mine de la înălţime.*	**Ψλ55:2** Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν, ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.	2. Călcatu-m-au vrăjmaşii mei toată ziua, că mulţi sunt cei ce se luptă cu mine de la înălţime.
Ψλ55:3 ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐπὶ σοὶ ἐλπιῶ.	*3. Ziua nu mă voi teme, iar eu, voi nădăjdui spre Tine.*	**Ψλ55:3** Ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ **σέ**.	3. Ziua nu mă voi teme, şi eu voi nădăjdui spre Tine.
Ψλ55:4 ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου **ὅλην τὴν ἡμέραν.** ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι· τί ποιήσει μοι σάρξ;	*4. Întru Dumnezeu voi lăuda cuvintele mele toată ziua. Spre Dumnezeu am nădăjduit, nu mă voi teme; ce-mi va face mie trupul?*	**Ψλ55:4** Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου, ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.	4. Întru Dumnezeu voi lăuda cuvintele mele, întru Dumnezeu am nădăjduit, nu mă voi teme, ce-mi va face mie trupul.
Ψλ55:5 ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.	*5. Toată ziua cuvintele mele au urât, împotriva mea toate gândurile lor spre rău.*	**Ψλ55:5** Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.	5. Toată ziua cuvintele mele au urât, împotriva mea toate gândurile lor spre rău.
Ψλ55:6 παροικήσουσιν καὶ κατακρύψουσιν· αὐτοὶ τὴν πτέρναν μου φυλάξουσιν, καθάπερ ὑπέμειναν τὴν ψυχήν μου.	*6. Nemernici-vor şi se vor ascunde, aceia călcâiul meu vor pândi; precum au aşteptat ei sufletul meu.*	**Ψλ55:6** **Παροικήσουσι** καὶ κατακρύψουσιν· αὐτοὶ τὴν πτέρναν μου φυλάξουσιν, καθάπερ ὑπέμειναν τὴν ψυχήν μου.	6. Nemernici-vor şi se vor ascunde; aceia călcâiul meu vor pândi, precum au aşteptat ei sufletul meu.
Ψλ55:7 ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς, ἐν ὀργῇ λαοὺς κατάξεις, ὁ Θεός.	*7. Pentru nimic nu-i vei mântui pe dânşii, întru mânie popoare vei sfărâma, Dumnezeule.*	**Ψλ55:7** Ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς, ἐν ὀργῇ λαοὺς κατάξεις.	7. Pentru nimic nu-i vei mântui pe dânşii, întru mânie popoare vei sfărâma.
Ψλ55:8 τὴν ζωήν μου ἐξήγγειλά σοι, ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.	*8. Viaţa mea am spus-o Ţie, pus-ai lacrimile mele înaintea Ta, ca şi întru făgăduinţa Ta.*	**Ψλ55:8** Ὁ Θεός, τὴν ζωήν μου ἐξήγγειλά σοι· ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.	8. Dumnezeule, viaţa mea am spus-o Ţie, pus-ai lacrimile mele înaintea Ta, ca şi întru făgăduinţa Ta.
Ψλ55:9 ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε· ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ	*9. Întoarce-se-vor vrăjmaşii mei înapoi, în ori ce zi Te voi chema; iată, am cunoscut că Dumnezeul meu eşti Tu.*	**Ψλ55:9** Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε· ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ	9. Întoarce-se-vor vrăjmaşii mei înapoi; în orice zi Te voi chema, iată, am cunoscut că Dumnezeul meu eşti Tu.

σύ.		σύ.	
Ψλ55:10 ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον. Ψλ55:11 ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;	*10. Întru Dumnezeu voi lăuda graiul, întru Dumnezeu voi lăuda cuvântul.* *11. Spre Dumnezeu am nădăjduit, nu mă voi teme; ce-mi va face mie omul?*	Ψλ55:10 Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον· ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.	10. Întru Dumnezeu voi lăuda graiul, întru Domnul voi lăuda cuvântul; spre Dumnezeu am nădăjduit, nu mă voi teme, ce-mi va face mie omul.
Ψλ55:12 ἐν ἐμοί, ὁ Θεός, αἱ εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σοι,	*12. Întru mine sunt, Dumnezeule, rugăciunile cu care voi răsplăti laudei Tale,*	Ψλ55:11 Ἐν ἐμοί, ὁ Θεός, αἱ εὐχαί, ἃς ἀποδώσω αἰνέσεώς **σου**.	11. Întru mine sunt, Dumnezeule, rugăciunile cu care voi răsplăti laudei Tale.
Ψλ55:13 ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος τοῦ εὐαρεστῆσαι ἐνώπιον τοῦ Θεοῦ ἐν φωτὶ ζώντων.	*13. că ai izbăvit sufletul meu din moarte şi picioarele mele din alunecare bine plăcând înaintea lui Dumnezeu în lumina celor vii.*	Ψλ55:12 Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου, **τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων,** καὶ τοὺς πόδας μου **ἀπὸ** ὀλισθήματος· **εὐαρεστήσω** ἐνώπιον **Κυρίου** ἐν φωτὶ ζώντων.	12. Că ai izbăvit sufletul din moarte, ochii mei, de lacrimi, şi picioarele mele, din alunecare; bine voi plăcea înaintea Domnului în lumina celor vii.
ΨΑΛΜΟΣ ΝΣΤ΄. Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαουλ εἰς τὸ σπήλαιον.	*PSALMUL 56* *Întru sfârşit; să nu strici; a lui David întru inscripţia stâlpului, când a fugit el de către faţa lui Saul în peşteră.*	ΨΑΛΜΟΣ ΝΣΤ΄. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.	*PSALMUL 56* *Întru sfârşit, să nu strici, a lui David întru inscripţia stâlpului, când a fugit el de către faţa lui Saul în peşteră.*
Ψλ56:1 Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία. Ψλ56:2 κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με. Ψλ56:3 ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέν με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ	*1. Miluieşte-mă, Dumnezeule, miluieşte-mă, că spre Tine a nădăjduit sufletul meu şi în umbra aripilor tale voi nădăjdui, până ce va trece fărădelegea.* *2. Striga-voi către Dumnezeul Cel Preaînalt, Dumnezeul Cel ce a făcut mie bine.* *3. Trimis-a din cer şi m-a mântuit, dat-au spre ocară pe cei ce mă calcă pe mine. Trimis-a Dumnezeu mila Sa şi adevărul Său*	Ψλ56:1 Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία. Ψλ56:2 Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με. Ψλ56:3 Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ **ἔσωσέ** με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. Ψλ56:4 Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ	1. Miluieşte-mă, Dumnezeule, miluieşte-mă, că spre Tine a nădăjduit sufletul meu, şi în umbra aripilor Tale voi nădăjdui, până ce va trece fărădelegea. 2. Striga-voi către Dumnezeul Cel Preaînalt, Dumnezeul Cel ce a făcut mie bine. 3. Trimis-a din cer şi m-a mântuit, dat-a spre ocară pe cei ce mă calcă pe mine. 4. Trimis-a Dumnezeu mila Sa şi adevărul Său, şi a izbăvit sufletul meu

Ψλ56:4 καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων. ἐκοιμήθην τεταραγμένος· υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.	*4. şi au izbăvit sufletul meu din mijlocul puilor de lei. Adormit-am tulburat; fiii oamenilor, dinţii lor arme şi săgeţi, şi limba lor sabie ascuţită.*	ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων· ἐκοιμήθην τεταραγμένος. **Ψλ56:5** Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν **ὅπλα** καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.	din mijlocul puilor de lei; adormit-am tulburat. 5. Fiii oamenilor, dinţii lor, arme şi săgeţi, şi limba lor, sabie ascuţită.
Ψλ56:5 ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.	*5. Înalţă-Te peste ceruri, Dumnezeule, şi peste tot pământul slava Ta.*	**Ψλ56:6** Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.	6. Înalţă-Te peste ceruri, Dumnezeule, şi peste tot pământul slava Ta.
Ψλ56:6 παγίδα ἡτοίμασαν τοῖς ποσίν μου καὶ κατέκαμψαν τὴν ψυχήν μου· ὤρυξαν πρὸ προσώπου μου βόθρον καὶ ἐνέπεσαν εἰς αὐτόν.	*6. Cursă au gătit picioarelor mele, şi au împilat sufletul meu; săpat-au înaintea feţei mele groapă şi au căzut într-însa.*	**Ψλ56:7** Παγίδα ἡτοίμασαν τοῖς **ποσί** μου καὶ κατέκαμψαν τὴν ψυχήν μου. **Ψλ56:8** Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ **ἐνέπεσον** εἰς αὐτόν.	7. Cursă au gătit picioarelor mele, şi au împilat sufletul meu. 8. Săpat-au înaintea feţei mele groapă, şi au căzut într-însa.
Ψλ56:7 ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ.	*7. Gata este inima mea Dumnezeule, gata este inima mea; cânta-voi şi voi lăuda.*	**Ψλ56:9** Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ **ἐν τῇ δόξῃ μου**.	9. Gata este inima mea, Dumnezeule, gata este inima mea, cânta-voi şi voi lăuda întru slava mea.
Ψλ56:8 ἐξεγέρθητι, ἡ δόξα μου· ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι ὄρθρου.	*8. Deşteaptă-te slava mea; deşteaptă-te psaltire şi alăută; deştepta-mă-voi dimineaţa.*	**Ψλ56:10** Ἐξεγέρθητι, ἡ δόξα μου· ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα· ἐξεγερθήσομαι ὄρθρου.	10. Deşteaptă-te, slava mea; deşteaptă-te, psaltire şi alăută; deştepta-mă-voi dimineaţa.
Ψλ56:9 ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν,	*9. Mărturisi-mă-voi Ţie întru popoare, Doamne, cânta-voi Ţie întru neamuri,*	**Ψλ56:11** Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.	11. Mărturisi-mă-voi Ţie întru popoare, Doamne, cânta-voi Ţie întru neamuri.
Ψλ56:10 ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.	*10. că s-a mărit până la ceruri mila Ta, şi până la nori adevărul Tău.*	**Ψλ56:12** Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.	12. Că s-a mărit până la ceruri mila Ta, şi până la nori adevărul Tău.
Ψλ56:11 ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.	*11. Înalţă-te peste ceruri, Dumnezeule, şi peste tot pământul slava Ta.*	**Ψλ56:13** Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.	13. Înalţă-te peste ceruri, Dumnezeule, şi peste tot pământul slava Ta.
ΨΑΛΜΟΣ ΝΖ΄. Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν.	*PSALMUL 57* *Întru sfârşit, să nu strici, lui David, întru inscripţia stâlpului.*	ΨΑΛΜΟΣ ΝΖ΄. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν.	*PSALMUL 57* *Întru sfârşit, să nu strici, a lui David, întru inscripţia stâlpului.*
Ψλ57:1 Εἰ ἀληθῶς ἄρα	*1. De grăiţi adică după*	**Ψλ57:1** Εἰ ἀληθῶς ἄρα	1. De grăiţi adică după

δικαιοσύνην λαλεῖτε; εὐθεῖα κρίνετε, **οἱ** υἱοὶ τῶν ἀνθρώπων;	*adevăr dreptatea? cele drepte judecaţi, fiii oamenilor?*	δικαιοσύνην λαλεῖτε, **εὐθείας** κρίνετε, **υἱοὶ** τῶν ἀνθρώπων;	adevăr dreptatea, cele drepte judecaţi, fiii oamenilor?
Ψλ57:2 καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.	*2. Şi (Pentru) că în inimă, fărădelege lucraţi pe pământ, nedreptate mâinile voastre împletesc.*	**Ψλ57:2** Καὶ γὰρ ἐν καρδίᾳ **ἀνομίαν** ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.	2. Pentru că în inimă fărădelege lucraţi pe pământ; nedreptate mâinile voastre împletesc.
Ψλ57:3 ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψεύδη.	*3. Înstrăinatu-s-au păcătoşii din mitras, rătăcit-au din pântece, grăit-au minciuni.*	**Ψλ57:3** Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ.	3. Înstrăinatu-s-au păcătoşii din mitras, rătăcit-au din pântece, grăit-au minciuni.
Ψλ57:4 θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς,	*4. Mânia lor este după asemănarea şarpelui, ca a unei aspide surde, care-şi astupă urechile sale,*	**Ψλ57:4** Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς,	4. Mânia lor este după asemănarea şarpelui, ca a unei aspide surde care-şi astupă urechile sale,
Ψλ57:5 ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ.	*5. care nu va auzi glasul descântătorilor, se otrăveşte otrăvindu-se de la cel înţelept.*	**Ψλ57:5** ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων, **φαρμκοῦται φαρμακευομένη** παρὰ σοφοῦ.	5. care nu va auzi glasul descântătorilor, se otrăveşte otrăvindu-se de la cel înţelept.
Ψλ57:6 ὁ Θεὸς συνέτριψεν τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν Κύριος.	*6. Dumnezeu va zdrobi dinţii lor în gura lor; măselele leilor le-a sfărâmat Domnul.*	**Ψλ57:6** Ὁ Θεὸς **συντρίψει** τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν **ὁ** Κύριος.	6. Dumnezeu va zdrobi dinţii lor în gura lor; măselele leilor le-a sfărâmat Domnul.
Ψλ57:7 ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον· ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.	*7. De nimic se vor face, ca apa ce trece; tinde-va arcul Său până unde vor slăbi.*	**Ψλ57:7** Ἐξουδενωθήσονται **ὡσεὶ** ὕδωρ διαπορευόμενον· ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.	7. De nimic se vor face, ca apa ce trece; tinde-va arcul Său până unde vor slăbi.
Ψλ57:8 ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται· ἐπέπεσε πῦρ, καὶ οὐκ εἶδον τὸν ἥλιον.	*8. Ca ceara ce se topeşte se vor pierde; căzut-a foc, şi n-au văzut soarele.*	**Ψλ57:8** Ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται· **ἔπεσε** πῦρ **ἐπ' αὐτοὺς** καὶ οὐκ εἶδον τὸν ἥλιον.	8. Ca ceara ce se topeşte se vor pierde; căzut-a foc peste dânşii şi n-au văzut soarele.
Ψλ57:9 πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς.	*9. Mai-nainte până ce vor cunoaşte spinii voştri ramul, ca pe nişte vii, ca întru urgie va înghiţi pe voi.*	**Ψλ57:9** Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας **αὐτῶν** τὴν ῥάμνον, ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται **αὐτούς**.	9. Mai-nainte până ce vor cunoaşte spinii lor ramul, ca pe nişte vii, ca întru urgie va înghiţi pe dânşii.
Ψλ57:10 εὐφρανθήσεται δίκαιος,	*10. Veseli-se-va dreptul, când va vedea răsplata*	**Ψλ57:10** Εὐφρανθήσεται δίκαιος,	10. Veseli-se-va dreptul, când va vedea izbândă;

ὅταν ἴδῃ ἐκδίκησιν **ἀσεβῶν**· τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.	*necinstitorilor; mâinile sale va spăla în sângele păcătosului.*	ὅταν ἴδῃ ἐκδίκησιν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.	mâinile sale va spăla în sângele păcătosului.
Ψλ57:11 καὶ ἐρεῖ ἄνθρωπος Εἰ ἄρα ἔστιν καρπὸς τῷ δικαίῳ, ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.	*11. Şi va zice omul: dacă este adică roadă dreptului, este dar Dumnezeu judecându-i pe dânşii pe pământ.*	**Ψλ57:11** Καὶ ἐρεῖ ἄνθρωπος· Εἰ ἄρα **ἐστὶ** καρπὸς τῷ δικαίῳ, ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ. Δόξα...	11. Şi va zice omul: Dacă este adică roadă dreptului, este dar Dumnezeu judecându-i pe dânşii pe pământ. Slavă…
ΨΑΛΜΟΣ ΝΗ΄. Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυῒδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλεν Σαουλ καὶ ἐφύλαξεν τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.	*PSALMUL 58* *Întru sfârşit; să nu strici; a lui David, întru inscripţia stâlpului, când a trimis Saul şi a păzit casa lui ca să-l omoare pe el.*	ΨΑΛΜΟΣ ΝΗ΄. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν, ὁπότε **ἀπέστειλε** Σαοὺλ καὶ ἐφύλαξεν τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.	*PSALMUL 58* *Întru sfârşit, să nu strici; a lui David, întru inscripţia stâlpului, când a trimis Saul şi a păzit casa lui ca să-l omoare pe el.*
Ψλ58:1 Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανιστανομένων ἐπ' ἐμὲ λύτρωσαί με· **Ψλ58:2** ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.	*1. Scoate-mă de la vrăjmaşii mei, Dumnezeule, şi de cei ce se scoală asupra mea, slobozeşte-mă.* *2. Izbăveşte-mă de cei ce lucrează fărădelegea, şi de bărbaţii sângiurilor mântuieşte-mă.*	**Ψλ58:1** Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανιστανομένων ἐπ' ἐμὲ λύτρωσαί με. **Ψλ58:2** Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.	1. Scoate-mă de la vrăjmaşii mei, Dumnezeule, şi de cei ce se scoală asupra mea slobozeşte-mă. 2. Izbăveşte-mă de cei ce lucrează fărădelegea, şi de bărbaţii sângiurilor mântuieşte-mă.
Ψλ58:3 ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. οὔτε ἡ ἀνομία μου οὔτε ἡ ἁμαρτία μου, Κύριε· **Ψλ58:4** ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυναν· ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἰδέ. **Ψλ58:5** καὶ σύ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων ὁ Θεὸς Ἰσραήλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, μὴ οἰκτιρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.	*3. Că iată, au vânat sufletul meu, pusu-s-au asupra mea cei tari. Nici fărădelegea mea, nici păcatul meu, Doamne;* *4. fără de nelegiuire am alergat şi am îndreptat; scoală-Te întru întâmpinarea mea şi vezi.* *5. Şi Tu Doamne, Dumnezeule al puterilor, Dumnezeul lui Israel, ia aminte a cerceta toate neamurile; să nu Te înduri spre toţi cei ce lucrează fărădelegea.*	**Ψλ58:3** Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. **Ψλ58:4** Οὔτε ἡ ἀνομία μου οὔτε ἡ ἁμαρτία μου, Κύριε· ἄνευ ἀνομίας ἔδραμον καὶ **κατεύθυνα**· ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ **ἴδέ**. **Ψλ58:5** Καὶ σύ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραήλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη, μὴ οἰκτιρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.	3. Că iată, au vânat sufletul meu, pusu-s-au asupra mea cei tari. 4. Nici fărădelegea mea, nici păcatul meu, Doamne; fără de nelegiuire am alergat şi am îndreptat; scoală-Te întru întâmpinarea mea şi vezi. 5. Şi Tu, Doamne, Dumnezeul puterilor, Dumnezeul lui Israel, ia aminte a cerceta toate neamurile, să nu Te milostiveşti spre toţi cei ce lucrează fărădelegea.

Ψλ58:6 ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων καὶ κυκλώσουσιν πόλιν.	*6. Întoarce-se-vor către seară, şi vor flămânzi ca un câine, şi vor înconjura cetatea.*	**Ψλ58:6** Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ **κυκλώσουσι** πόλιν.	6. Întoarce-se-vor către seară, şi vor flămânzi ca un câine, şi vor înconjura cetatea.
Ψλ58:7 ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν· ὅτι τίς ἤκουσεν;	*7. Iată aceia vor răspunde cu gura lor, şi sabie în buzele lor: că cine a auzit?*	**Ψλ58:7** Ἰδοὺ **αὐτοὶ** ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι τίς **ἤκουσε**;	7. Iată aceia vor răspunde cu gura lor, şi sabie în buzele lor, că cine a auzit?
Ψλ58:8 καὶ σύ, Κύριε, ἐκγελάσῃ αὐτούς, ἐξουδενώσεις πάντα τὰ ἔθνη.	*8. Şi Tu, Doamne, vei râde de dânşii, urgisi-vei toate neamurile.*	**Ψλ58:8** Καὶ σύ, Κύριε, **ἐκγελάσεις** αὐτούς, ἐξουδενώσεις πάντα τὰ ἔθνη.	8. Şi Tu, Doamne, vei râde de dânşii, urgisi-vei toate neamurile.
Ψλ58:9 τὸ κράτος μου, πρὸς σὲ φυλάξω, ὅτι ὁ Θεὸς ἀντιλήμπτωρ μου εἶ.	*9. Puterea mea spre Tine voi păzi; că Dumnezeule sprijinitorul meu eşti.*	**Ψλ58:9** Τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι **σύ,** ὁ Θεὸς ἀντιλήμπτωρ μου εἶ.	9. Puterea mea spre Tine voi păzi; că Tu, Dumnezeule, sprijinitorul meu eşti.
Ψλ58:10 ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με· ὁ Θεὸς δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.	*10. Dumnezeul meu; mila Lui mă va întâmpina; Dumnezeul meu va arăta mie întru vrăjmaşii mei.*	**Ψλ58:10** Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με· ὁ Θεὸς δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.	10. Dumnezeul meu, mila Lui mă va întâmpina; Dumnezeul meu va arăta mie întru vrăjmaşii mei.
Ψλ58:11 μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ λαοῦ μου· διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου Κύριε.	*11. Să nu-i omori pe dânşii, ca nu cândva să uite poporul meu; risipeşte-i pe ei întru puterea Ta, şi-i pogoară pe dânşii, scutitorul (apărătorul) meu, Doamne.*	**Ψλ58:11** Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου. **Ψλ58:12** Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου, Κύριε.	11. Să nu-i omori pe dânşii, ca nu cândva să uite legea Ta. 12. Risipeşte-i pe ei întru puterea Ta, şi-i pogoară pe dânşii, sprijinitorul meu, Doamne.
Ψλ58:12 ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν, καὶ συλλημφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν· καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται συντέλειαι	*12. Păcatul gurii lor, cuvântul buzelor lor, şi să se prindă întru mândria lor; şi din blestem şi minciună se vor vesti întru sfârşit,*	**Ψλ58:13** Ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν, καὶ συλλημφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν. **Ψλ58:14** Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν **συντελείᾳ**, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ **ὑπάρξωσι**.	13. Păcatul gurii lor, cuvântul buzelor lor, şi să se prindă întru mândria lor. 14. Şi din blestem şi minciună se vor vesti întru sfârşit, întru urgia sfârşitului, şi nu vor fi.
Ψλ58:13 ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν· καὶ γνώσονται ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ, τῶν περάτων τῆς γῆς.	*13. întru urgia sfârşitului, şi nu vor (mai) fi; şi vor cunoaşte că Dumnezeu stăpâneşte pe Iacov, marginile pământului.*	**Ψλ58:15** Καὶ γνώσονται ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ, καὶ τῶν περάτων τῆς γῆς.	15. Şi vor cunoaşte că Dumnezeu stăpâneşte pe Iacov şi marginile pământului.
Ψλ58:14 ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων καὶ κυκλώσουσιν πόλιν.	*14. Întoarce-se-vor către seară, şi vor flămânzi ca un câine, şi vor înconjura cetatea.*	**Ψλ58:16** Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων,	16. Întoarce-se-vor către seară, şi vor flămânzi ca un câine, şi vor înconjura cetatea.

		καὶ **κυκλώσουσι** πόλιν.	
Ψλ58:15 αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσιν, καὶ γογγύσουσιν.	*15. Aceia se vor risipi să mănânce; iar de nu se vor sătura, vor şi murmura.*	**Ψλ58:17** Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ **χορτασθῶσι**, καὶ γογγύσουσιν.	17. Aceia se vor risipi să mănânce, iar de nu se vor sătura, vor şi murmura.
Ψλ58:16 ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐγενήθης ἀντιλήμπτωρ μου καὶ καταφυγὴ ἐν ἡμέρᾳ θλίψεώς μου.	*16. Iar eu voi lăuda puterea Ta, şi mă voi bucura dimineaţa de mila Ta, că Te-ai făcut Sprijinitorul meu, şi Scăparea mea în ziua necazului meu.*	**Ψλ58:18** Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου, καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου. **Ψλ58:19** Ὅτι ἐγενήθης ἀντιλήμπτωρ μου, καὶ καταφυγὴ μου ἐν ἡμέρᾳ θλίψεώς μου.	18. Iar eu voi cânta puterii Tale, şi mă voi bucura dimineaţa de mila Ta. 19. Că Te-ai făcut Sprijinitorul meu, şi Scăparea mea în ziua necazului meu.
Ψλ58:17 βοηθός μου, σοὶ ψαλῶ, ὅτι, ὁ Θεός, ἀντιλήμπτωρ μου εἶ, ὁ Θεός μου, τὸ ἔλεός μου.	*17. Ajutorul meu, Ţie voi cânta, că, Dumnezeule, Sprijinitorul meu eşti, Dumnezeul meu, Mila mea.*	**Ψλ58:20** Βοηθός μου **εἶ**, σοὶ ψαλῶ, ὅτι **σύ**, ὁ Θεός, ἀντιλήμπτωρ μου εἶ, ὁ Θεός μου, τὸ ἔλεός μου.	20. Ajutorul meu eşti, Ţie voi cânta; că Tu, Dumnezeule, Sprijinitorul meu eşti, Dumnezeul meu, Mila mea.
ΨΑΛΜΟΣ ΝΘ΄. Εἰς τὸ τέλος· τοῖς ἀλλοιωθησομένοις ἔτι, εἰς στηλογραφίαν τῷ Δαυῒδ, εἰς διδαχήν, ὁπότε ἐνεπύρισεν τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σωβα, καὶ ἐπέστρεψεν Ιωαβ καὶ ἐπάταξεν τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας.	*PSALMUL 59* *Întru sfârşit; celor ce se vor schimba, întru inscripţia stâlpului lui David, spre învăţătură, când a ars Mesopotamia Siriei, şi Sova-Siria, şi s-a întors Ioav şi a bătut în vale pe ceilalţi, douăsprezece mii.*	ΨΑΛΜΟΣ ΝΘ΄. Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις· εἰς στηλογραφίαν τῷ Δαυῒδ, εἰς διδαχήν, ὁπότε **ἐνεπύρισε** τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σοβάλ, καὶ ἐπέστρεψεν Ιωαβ καὶ **ἐπάταξε τὸν Ἐδὼμ ἐν τῇ φάραγγι** τῶν ἁλῶν, δώδεκα χιλιάδας.	*PSALMUL 59* *Întru sfârşit, celor ce se vor schimba; întru inscripţia stâlpului lui David, spre învăţătură, când a ars Mesopotamia Siriei, şi Sova-Siria, şi s-a întors Ioav, şi a bătut pe Edom în Valea Sărilor douăsprezece mii.*
Ψλ59:1 Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ οἰκτίρησας ἡμᾶς.	*1. Dumnezeule, lepădatu-ne-ai pe noi şi ne-ai surpat, mâniatu-Te-ai şi Te-ai milostivit (îndurat) spre noi.*	**Ψλ59:1** Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ οἰκτίρησας ἡμᾶς.	1. Dumnezeule, lepădatu-ne-ai pe noi, şi ne-ai surpat, mâniatu-Te-ai şi Te-ai milostivit spre noi.
Ψλ59:2 συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.	*2. Cutremurat-ai pământul şi l-ai tulburat pe dânsul; vindecă sfărâmăturile lui, că s-au clătinat.*	**Ψλ59:2** Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.	2. Cutremurat-ai pământul şi l-ai tulburat pe dânsul; vindecă sfărâmăturile lui, că s-au clătinat.
Ψλ59:3 ἔδειξας τῷ λαῷ σου σκληρά, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.	*3. Arătat-ai poporului Tău cele aspre, adăpatu-ne-ai pe noi cu vinul umilinţei.*	**Ψλ59:3** Ἔδειξας τῷ λαῷ σου σκληρά, ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.	3. Arătat-ai poporului Tău cele aspre, adăpatu-ne-ai pe noi cu vinul umilinţei.
Ψλ59:4 ἔδωκας τοῖς φοβουμένοις σε	*4. Dat-ai celor ce se tem de Tine semn, ca să fugă*	**Ψλ59:4** Ἔδωκας τοῖς φοβουμένοις σε	4. Dat-ai celor ce se tem de Tine semn, ca să fugă

σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.	*de la faţa arcului.*	σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.	de la faţa arcului.
Ψλ59:5 ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.	*5. Pentru ca să se izbăvească cei iubiţi ai Tăi, mântuieşte-mă cu dreapta Ta şi mă auzi.*	**Ψλ59:5** Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.	5. Pentru ca să se izbăvească cei iubiţi ai Tăi, mântuieşte-mă cu dreapta Ta şi mă auzi.
Ψλ59:6 ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ Ἀγαλλιάσομαι καὶ διαμεριῶ Σικιμα καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω·	*6. Dumnezeu au grăit întru cel sfânt al Său: Bucura-mă-voi şi voi împărţi Sichemul, şi valea locaşurilor voi măsura;*	**Ψλ59:6** Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· Ἀγαλλιάσομαι καὶ διαμεριῶ Σικιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.	6. Dumnezeu a grăit întru cel sfânt al Său: Bucura-mă-voi şi voi împărţi Sichemul, şi valea locaşurilor voi măsura.
Ψλ59:7 ἐμός ἐστιν Γαλααδ, καὶ ἐμός ἐστιν Μανασση, καὶ Εφραιμ κραταίωσις τῆς κεφαλῆς μου, Ιουδας βασιλεύς μου·	*7. al Meu este Galaad şi al Meu este Manase, şi Efraim tăria capului Meu, Iuda împăratul Meu;*	**Ψλ59:7** Ἐμός **ἐστι** Γαλαάδ, καὶ ἐμός **ἐστι** **Μανασσῆς**, καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου, Ἰούδας βασιλεύς μου.	7. Al Meu este Galaad, şi al meu este Manase, şi Efraim, tăria capului Meu, Iuda, împăratul Meu.
Ψλ59:8 Μωαβ λέβης τῆς ἐλπίδος μου, ἐπὶ τὴν Ιδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.	*8. Moab căldarea nădejdii Mele, spre Idumeea voi întinde încălţăminte Mea, Mie cei de alt neam s-au supus.*	**Ψλ59:8** Μωαβ λέβης τῆς ἐλπίδος μου, ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.	8. Moab, vasul nădejdii Mele, spre Idumeea voi întinde încălţămintea Mea, Mie cei de alt neam s-au supus.
Ψλ59:9 τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; τίς ὁδηγήσει με ἕως τῆς Ιδουμαίας;	*9. Cine mă va duce la cetatea îngrădirii? Cine mă va povăţui până la Idumeea?*	**Ψλ59:9** Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;	9. Cine mă va duce la cetatea îngrădirii? Sau cine mă va povăţui până în Idumeea?
Ψλ59:10 οὐχὶ σύ, ὁ Θεός, ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν.	*10. Au nu Tu, Dumnezeule, Cel ce ne-ai lepădat pe noi? Şi nu vei ieşi, Dumnezeule, întru puterile noastre.*	**Ψλ59:10** Οὐχὶ σύ, ὁ Θεός, ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν;	10. Au nu Tu, Dumnezeule, Cel ce ne-ai lepădat pe noi? Şi au nu vei ieşi, Dumnezeule, întru puterile noastre?
Ψλ59:11 δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· καὶ ματαία σωτηρία ἀνθρώπου.	*11. Dă-ne nouă ajutor din necaz, şi deşartă este mântuirea omului.*	**Ψλ59:11** Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.	11. Dă-ne nouă ajutor întru necaz, că deşartă este mântuirea cea de la om.
Ψλ59:12 ἐν **δὲ** τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.	*12. Iar întru Dumnezeu vom face putere, şi El va urgisi pe cei ce ne necăjesc pe noi.*	**Ψλ59:12** Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.	12. Întru Dumnezeu vom face putere, şi El va defăima pe cei ce ne necăjesc pe noi.
ΨΑΛΜΟΣ Ξ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· τῷ Δαυΐδ.	*PSALMUL 60* *Întru sfârşit, întru cântări [de laudă]; a lui David.*	ΨΑΛΜΟΣ Ξ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· τῷ Δαυΐδ.	*PSALMUL 60* *Întru sfârşit, întru cântări [de laudă], a lui David.*
Ψλ60:1 Εἰσάκουσον, ὁ	*1. Ascultă, Dumnezeule,*	**Ψλ60:1** Εἰσάκουσον, ὁ	1. Ascultă, Dumnezeule,

Θεός, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.	*cererea mea; ia aminte rugăciunea mea.*	Θεός, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.	cererea mea, ia aminte rugăciunea mea.
Ψλ60:2 ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου· ἐν πέτρᾳ ὕψωσάς με,	*2. De la marginile pământului către Tine am strigat când s-a mâhnit inima mea; în piatră m-ai înălţat,*	**Ψλ60:2** Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου· ἐν πέτρᾳ ὕψωσάς με.	2. De la marginile pământului către Tine am strigat, când s-a mâhnit inima mea; pe piatră m-ai înălţat.
Ψλ60:3 ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.	*3. povăţuitu-m-ai, că Te-ai făcut nădejdea mea, turn de tărie de către faţa vrăjmaşului.*	**Ψλ60:3** Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.	3. Povăţuitu-m-ai, că Te-ai făcut nădejdea mea, turn de tărie de către faţa vrăjmaşului.
Ψλ60:4 παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου.	*4. Lăcui-voi întru locaşul Tău în veci, acoperi-mă-voi întru acoperemântul aripilor Tale.*	**Ψλ60:4** Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου.	4. Locui-voi întru locaşul Tău în veci, acoperi-mă-voi întru acoperământul aripilor Tale.
Ψλ60:5 ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.	*5. Că Tu, Dumnezeule, ai auzit rugăciunile mele, dat-ai moştenire celor ce se tem de numele Tău.*	**Ψλ60:5** Ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.	5. Că Tu, Dumnezeule, ai auzit rugăciunile mele, dat-ai moştenire celor ce se tem de numele Tău.
Ψλ60:6 ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις, ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.	*6. Zile peste zile împăratul vei adăuga, anii lui până la ziua neamului şi a neamului.*	**Ψλ60:6** Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις, **τὰ** ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.	6. Zile peste zile împăratului vei adăuga, anii lui până la ziua neamului şi a neamului.
Ψλ60:7 διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;	*7. Rămânea-va în veac înaintea lui Dumnezeu; mila şi adevărul Lui, cine îl va căuta?*	**Ψλ60:7** Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;	7. Rămâne-va în veac înaintea lui Dumnezeu; mila şi adevărul Lui, cine-l va căuta?
Ψλ60:8 οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.	*8. Aşa voi cânta numelui Tău în veci ca să dau eu rugăciunile mele din zi în zi.*	**Ψλ60:8** **Οὕτω** ψαλῶ τῷ ὀνόματί σου εἰς **τοὺς αἰῶνας**, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας. Δόξα...	8. Aşa voi cânta numele Tău în veci, ca să dau eu rugăciunile mele din zi în zi. Slavă…
ΨΑΛΜΟΣ ΞΑ΄. Εἰς τὸ τέλος, ὑπὲρ Ιδιθουν· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 61* *Întru sfârşit, pentru Iditum; psalm a lui David.*	ΨΑΛΜΟΣ ΞΑ΄. Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούν· ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 61* *Întru sfârşit, pentru Iditum; psalm a lui David.*
Ψλ61:1 Οὐχὶ τῷ Θεῷ	*1. Au nu lui Dumnezeu*	**Ψλ61:1** Οὐχὶ τῷ Θεῷ	1. Au nu lui Dumnezeu

ὑποταγήσεται ἡ ψυχή μου; παρ’ αὐτοῦ γὰρ τὸ σωτήριόν μου·	*se va supune sufletul meu? Că de la Dânsul este Mântuirea mea;*	ὑποταγήσεται ἡ ψυχή μου; παρ’ αὐτοῦ γὰρ τὸ σωτήριόν μου.	se va supune sufletul meu? Că de la Dânsul este Mântuirea mea.
Ψλ61:2 καὶ γὰρ αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήμπτωρ μου· οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.	*2. și că El este Dumnezeul meu şi Mântuitorul meu, Sprijinitorul meu; nu mă voi clătina mai mult.*	**Ψλ61:2** Καὶ γὰρ αὐτὸς Θεός μου καὶ σωτήρ μου, **ἀντιλήπτωρ** μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.	2. Și că El este Dumnezeul meu şi Mântuitorul meu, Sprijinitorul meu, nu mă voi clătina mai mult.
Ψλ61:3 ἕως πότε ἐπιτίθεσθε ἐπ’ ἄνθρωπον; φονεύετε πάντες ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ.	*3. Până când vă puneţi asupra omului? Ucideţi toţi, ca pe un perete povârnit şi gard surpat.*	**Ψλ61:3** Ἕως πότε ἐπιτίθεσθε ἐπ’ ἄνθρωπον; φονεύετε πάντες **ὑμεῖς** ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ.	3. Până când vă puneţi asupra omului? Ucideţi toţi voi, ca pe un perete povârnit şi gard surpat?
Ψλ61:4 πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν ψεύδει, τῷ στόματι αὐτῶν εὐλογοῦσαν καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.	*4. Însă cinstea mea s-au sfătuit s-o lepede (doboare), alergat-au cu minciuni, cu gura lor binecuvântau, şi cu inima lor blestemau.*	**Ψλ61:4** Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν **δίψῃ**, τῷ στόματι αὐτῶν **εὐλόγουν,** καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.	4. Însă cinstea mea s-au sfătuit să-o lepede, alergat-au cu sete, cu gura lor binecuvântau, şi cu inima lor blestemau.
Ψλ61:5 πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου, ὅτι παρ’ αὐτοῦ ἡ ὑπομονή μου·	*5. Însă lui Dumnezeu te supune, sufletul meu, că de la Dânsul este răbdarea mea;*	**Ψλ61:5** Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου, ὅτι παρ’ αὐτοῦ ἡ ὑπομονή μου.	5. Însă lui Dumnezeu te supune, sufletul meu, că de la Dânsul este răbdarea mea.
Ψλ61:6 ὅτι αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήμπτωρ μου· οὐ μὴ μεταναστεύσω.	*6. că El este Dumnezeul şi Mântuitorul meu, Sprijinitorul meu; nu mă voi muta.*	**Ψλ61:6** Ὅτι αὐτὸς Θεός μου καὶ σωτήρ μου, **ἀντιλήπτωρ** μου, οὐ μὴ μεταναστεύσω.	6. Că El este Dumnezeul meu şi Mântuitorul meu, Sprijinitorul meu, nu mă voi muta.
Ψλ61:7 ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου· ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.	*7. Întru Dumnezeu este mântuirea mea şi slava mea; Dumnezeu ajutorul meu, şi nădejdea mea este spre Dumnezeu.*	**Ψλ61:7** Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου· ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.	7. Întru Dumnezeu este mântuirea mea şi slava mea, Dumnezeul ajutorului meu, şi nădejdea mea este spre Dumnezeu.
Ψλ61:8 ἐλπίσατε ἐπ’ αὐτόν, πᾶσα συναγωγὴ λαοῦ· ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν· ὁ Θεὸς βοηθὸς ἡμῶν.	*8. Nădăjduiţi spre Dânsul, toată adunarea popoarelor; vărsaţi înaintea Lui inimile voastre; Dumnezeu este ajutorul nostru.*	**Ψλ61:8** Ἐλπίσατε ἐπ’ αὐτόν, πᾶσα συναγωγὴ λαοῦ· **ἐκχέατε** ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν, **ὅτι** ὁ Θεὸς βοηθὸς ἡμῶν.	8. Nădăjduiţi spre Dânsul, toată adunarea popoarelor; vărsaţi înaintea Lui inimile voastre, că Dumnezeu este ajutorul nostru.
Ψλ61:9 πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.	*9. Însă deşerţi sunt fiii oamenilor, mincinoşi fiii oamenilor, în cumpene a face strâmbătate ei din deşertăciune împreună.*	**Ψλ61:9** Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.	9. Însă deşerţi sunt fiii oamenilor, mincinoşi sunt fiii oamenilor, în cumpene, a face strâmbătate ei din deşertăciune împreună.
Ψλ61:10 μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν καὶ ἐπὶ	*10. Nu nădăjduiţi spre nedreptate, şi spre*	**Ψλ61:10** Μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν, καὶ ἐπὶ	10. Nu nădăjduiţi spre nedreptate, şi spre

ἅρπαγμα μὴ ἐπιποθεῖτε· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.	*jefuire nu poftiţi; bogăţia de ar curge, nu vă lipiţi inima.*	ἅρπαγμα μὴ ἐπιποθεῖτε· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.	jefuire nu poftiţi; bogăţia de ar curge, nu vă lipiţi inima.
Ψλ61:11 ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα,	*11. Odată a grăit Dumnezeu, acestea două am auzit,*	**Ψλ61:11** Ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ, Κύριε, τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.	11. O dată a grăit Dumnezeu, acestea două am auzit, că puterea este a lui Dumnezeu, şi a Ta este Doamne, mila, că Tu vei răsplăti fiecăruia după faptele lui.
Ψλ61:12 ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοί, Κύριε, τὸ ἔλεος, ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.	*12. că puterea este a lui Dumnezeu, şi a Ta este Doamne mila, că Tu vei răsplăti fiecăruia după faptele lui.*		
ΨΑΛΜΟΣ ΞΒ΄. Ψαλμὸς τῷ Δαυΐδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ιουδαίας.	*PSALMUL 62* *Psalm a lui David, când a fost el în pustiul Iudeii.*	ΨΑΛΜΟΣ ΞΒ΄. Ψαλμὸς τῷ Δαυΐδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας.	*PSALMUL 62* *Psalm a lui David, când a fost el în pustiul Iudeii.*
Ψλ62:1 Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω· ἐδίψησέν σοι ἡ ψυχή μου. ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ;	*1. Dumnezeule, Dumnezeul meu, către Tine mânec; însetat-a de Tine sufletul meu. De câte ori de Tine trupul meu a însetat în pământ pustiu şi neumblat şi fără de apă?*	**Ψλ62:1** Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. **ἐδίψησέ σε** ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.	1. Dumnezeule, Dumnezeul meu, către Tine mânec. Însetat-a de Tine sufletul meu, de câte ori de Tine trupul meu a însetat, în pământ pustiu şi neumblat şi fără de apă.
Ψλ62:2 οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.	*2. Aşa întru cel sfânt m-am arătat Ţie, ca să văd puterea Ta şi slava Ta.*	**Ψλ62:2** Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.	2. Aşa întru cel sfânt m-am arătat Ţie, ca să văd puterea Ta şi slava Ta.
Ψλ62:3 ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσίν σε.	*3. Că mai bună este mila Ta decât vieţile; buzele mele Te vor lăuda.*	**Ψλ62:3** Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου **ἐπαινέσουσί** σε.	3. Că mai bună este mila Ta decât vieţile, buzele mele Te vor lăuda.
Ψλ62:4 οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.	*4. Aşa bine Te voi cuvânta în viaţa mea, în numele Tău voi ridica mâinile mele.*	**Ψλ62:4** Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, **καὶ** ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.	4. Aşa bine Te voi cuvânta în viaţa mea, şi în numele Tău voi ridica mâinile mele.
Ψλ62:5 ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.	*5. Ca de seu şi de grăsime să se umple sufletul meu, şi cu buze de bucurie Te va lăuda gura mea.*	**Ψλ62:5** **Ὡς ἐκ** στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.	5. Ca de seu şi de grăsime să se umple sufletul meu, şi cu buze de bucurie Te va lăuda gura mea.
Ψλ62:6 εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ·	*6. De mi-am adus aminte de Tine în aşternutul meu, în dimineţi am cugetat la Tine;*	**Ψλ62:6** Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.	6. De mi-am adus aminte de Tine în aşternutul meu, în dimineţi am cugetat spre Tine.
Ψλ62:7 ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων	*7. că ai fost ajutorul meu, şi întru acoperământul aripilor*	**Ψλ62:7** Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων	7. Că Te-ai făcut ajutorul meu, şi întru acoperământul aripilor

σου ἀγαλλιάσομαι.	*Tale mă voi bucura.*	σου ἀγαλλιάσομαι.	Tale mă voi bucura.
Ψλ62:8 ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου.	*8. Lipitu-s-a sufletul meu după Tine, şi pe mine m-a sprijinit dreapta Ta.*	**Ψλ62:8** Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ **δὲ** ἀντελάβετο ἡ δεξιά σου.	8. Lipitu-s-a sufletul meu după Tine, iar pe mine m-a sprijinit dreapta Ta.
Ψλ62:9 αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς·	*9. Iar ei în deşert au căutat sufletul meu, intra-vor în cele mai de jos ale pământului;*	**Ψλ62:9** Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.	9. Iar ei în deşert au căutat sufletul meu, intra-vor în cele mai de jos ale pământului, da-se-vor în mâinile săbiei, părţi vulpilor vor fi.
Ψλ62:10 παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.	*10. da-se-vor în mâinile săbiei, părţi vulpilor vor fi.*		
Ψλ62:11 ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεσθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.	*11. Iar împăratul se va veseli de Dumnezeu, lăuda-se-va tot cel ce se jură întru El, că s-a astupat gura celor ce grăiesc nedreptăţi.*	**Ψλ62:10** Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεσθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.	10. Iar împăratul se va veseli de Dumnezeu, lăuda-se-va tot cel ce se jură întru El, că s-a astupat gura celor ce grăiesc nedreptăţi.
ΨΑΛΜΟΣ ΞΓ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 63* *Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΞΓ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 63* *Întru sfârşit; psalm al lui David.*
Ψλ63:1 Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.	*1. Ascultă Dumnezeule glasul meu când mă rog, de la frica vrăjmaşului scoate sufletul meu.*	**Ψλ63:1** Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με **πρὸς σέ**, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.	1. Auzi, Dumnezeule, glasul meu când mă rog către Tine, de la frica vrăjmaşului scoate sufletul meu.
Ψλ63:2 ἐσκέπασάς με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων **τὴν** ἀνομίαν,	*2. Acoperitu-mai de adunarea celor ce viclenesc, de mulţimea celor ce lucrează nedreptate,*	**Ψλ63:2** **Σκέπασόν** με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀνομίαν,	2. Acoperă-mă de adunarea celor ce viclenesc, de mulţimea celor ce lucrează nedreptate,
Ψλ63:3 οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρὸν	*3. care şi-au ascuţit ca o sabie limbile lor, întins-au arcul lor lucru amar,*	**Ψλ63:3** οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρὸν,	3. care şi-au ascuţit ca o sabie limbile lor, întins-au arcul lor, lucru amar,
Ψλ63:4 τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον, ἐξάπινα κατατοξεύσουσιν αὐτὸν καὶ οὐ φοβηθήσονται.	*4. ca să săgeteze întru ascunsuri pe cel nevinovat, fără veste îl vor săgeta pe el, şi nu se vor teme.*	**Ψλ63:4** τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον· ἐξάπινα κατατοξεύσουσιν αὐτὸν καὶ οὐ φοβηθήσονται.	4. ca să săgeteze întru ascunsuri pe cel nevinovat; fără veste îl vor săgeta pe el şi nu se vor teme.
Ψλ63:5 ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν, διηγήσαντο τοῦ κρύψαι	*5. Întărit-au loruşi cuvânt viclean, vorbit-au ca să ascundă cursă; zis-au: cine îi va vedea*	**Ψλ63:5** Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν, διηγήσαντο τοῦ κρύψαι	5. Întărit-au loruşi cuvânt viclean, vorbit-au ca să ascundă cursă,

παγίδας· εἶπαν Τίς ὄψεται αὐτούς;	*pe ei?*	**παγίδα· εἶπον·** Τίς ὄψεται αὐτούς;	zis-au: Cine îi va vedea pe ei?
Ψλ63:6 ἐξηρεύνησαν ἀνομίας, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσει. προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα,	*6. Iscodit-au fărădelege, stinsu-s-au născocind iscodiri. Apropia-se-va omul şi inima adâncă;*	Ψλ63:6 Ἐξηρεύνησαν **ἀνομίαν**, ἐξέλιπον ἐξερευνῶντες **ἐξερευνήσεις**. Ψλ63:7 Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ Θεός.	6. Iscodit-au fărădelege, stinsu-s-au născocind iscodiri. 7. Apropia-se-va omul, şi inima adâncă, şi se va înălţa Dumnezeu.
Ψλ63:7 καὶ ὑψωθήσεται ὁ Θεός. βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν,	*7. şi se va înălţa Dumnezeu. Săgeata pruncilor s-au făcut rănile lor;*	Ψλ63:8 Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν.	8. Săgeată de prunci s-au făcut rănile lor, şi au slăbit asupra lor limbile lor.
Ψλ63:8 καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς,	*8. şi au slăbit asupra lor limbile lor. Tulburatu-s-au toţi care i-au văzut pe dânşii,*	Ψλ63:9 Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς, καὶ ἐφοβήθη πᾶς ἄνθρωπος.	9. Tulburatu-s-au toţi care i-au văzut pe dânşii, şi s-a temut tot omul.
Ψλ63:9 καὶ ἐφοβήθη πᾶς ἄνθρωπος. καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.	*9. şi s-a temut tot omul. Şi au povestit lucrurile lui Dumnezeu şi faptele Lui le-au înţeles.*	Ψλ63:10 Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ, καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.	10. Şi au povestit lucrurile lui Dumnezeu, şi faptele Lui le-au înţeles.
Ψλ63:10 εὐφρανθήσεται δίκαιος ἐπὶ τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ' αὐτόν, καὶ ἐπαινεσθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.	*10. Veseli-se-va cel drept întru Domnul, şi va nădăjdui spre Dânsul şi se vor lăuda toţi cei drepţi la inimă.*	Ψλ63:11 Εὐφρανθήσεται δίκαιος ἐπὶ τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ' αὐτόν, καὶ ἐπαινεσθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα...	11. Veseli-se-va cel drept întru Domnul şi va nădăjdui spre Dânsul, şi se vor lăuda toţi cei drepţi la inimă. Slavă…
ΨΑΛΜΟΣ ΞΔ΄.	*PSALMUL 64*	ΚΑΘΙΣΜΑ ΕΝΑΤΟΝ ΨΑΛΜΟΣ ΞΔ΄.	Catisma a noua *PSALMUL 64*
Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ, ᾠδή· Ιερεμιου καὶ Ιεζεκιηλ ἐκ τοῦ λόγου τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι.	*Întru sfârşit; psalm a lui David, cântarea lui Ieremia şi Iezechiil de sălăşluirea vremelnică a Cuvântului, că urma să purceadă scoaterea.*	Εἰς τὸ τέλος· ψαλμὸς **ᾠδῆς** τῷ Δαυΐδ. Ὠδὴ Ἰερεμίου καὶ Ἰεζεκιὴλ ἐκ τοῦ **λαοῦ** τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι.	*Întru sfârşit, psalm de cântare a lui David, cântarea lui Ieremia şi a lui Iezechiil şi a nemerniciei poporului, când urmau să iasă din robie.*
Ψλ64:1 Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιων, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ιερουσαλημ.	*1. Ţie se cuvine cântare, Dumnezeule, în Sion, şi Ţie se va da rugăciunea în Ierusalim.*	Ψλ64:1 Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἰερουσαλημ.	1. Ţie Ţi se cuvine cântare, Dumnezeule, în Sion, şi Ţie se va da rugăciunea în Ierusalim.
Ψλ64:2 εἰσάκουσον προσευχῆς μου· πρὸς σὲ πᾶσα σὰρξ ἥξει.	*2. Ascultă rugăciunea mea; către Tine tot trupul va veni.*	Ψλ64:2 Εἰσάκουσον προσευχῆς μου· πρὸς σὲ πᾶσα σὰρξ ἥξει.	2. Auzi rugăciunea mea; către Tine tot trupul va veni.
Ψλ64:3 λόγοι ἀνομιῶν ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ τὰς ἀσεβείας ἡμῶν	*3. Cuvintele celor fărădelege ne-au biruit pe noi, şi necinstirile*	Ψλ64:3 Λόγοι ἀνομιῶν ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ **ταῖς ἀσεβείαις**	3. Cuvintele celor fărădelege ne-au biruit pe noi, şi necinstirile

σὺ ἱλάσῃ.	*noastre Tu le vei curăţi.*	ἡμῶν σὺ ἱλάσῃ.	noastre Tu le vei curăţa.
Ψλ64:4 μακάριος ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.	*4. Fericit este pe care l-ai ales şi l-ai primit, locui-va în curţile Tale. Umplea-ne-vom de bunătăţile casei Tale; sfânt(ă) este locaşul (Biserica) Tău (Ta), minunat(ă) întru dreptate.*	**Ψλ64:4** Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. **Ψλ64:5** Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.	4. Fericit este pe care l-ai ales şi l-ai primit; locui-va în curţile Tale. 5. Umplea-ne-vom de bunătăţile casei Tale; sfânt este locaşul Tău, minunat întru dreptate.
Ψλ64:5 ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ ἐν θαλάσσῃ μακράν,	*5. Auzi-ne pe noi Dumnezeule, Mântuitorul nostru, nădejdea tuturor marginilor pământului şi a celor de pe mare depărtare,*	**Ψλ64:6** Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν.	6. Auzi-ne pe noi, Dumnezeule, Mântuitorul nostru, nădejdea tuturor marginilor pământului şi a celor de pe mare departe.
Ψλ64:6 ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ, **Ψλ64:7** ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς. ταραχθήσονται τὰ ἔθνη,	*6. Cel ce găteşti munţii întru tăria lui, încins fiind cu putere,* *7. Cel ce turburi adâncul mării, sunetele valurilor ei. Tulbura-se-vor neamurile,*	**Ψλ64:7** Ἑτοιμάζων ὄρη ἐν τῇ **ἰσχύϊ** αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ, ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης· ἤχους κυμάτων αὐτῆς **τίς ὑποστήσεται;**	7. Cel ce găteşti munţii întru tăria lui, încins fiind cu putere, Cel ce tulburi adâncul mării; sunetele valurilor ei cine le va suferi?
Ψλ64:8 καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου· ἐξόδους πρωίας καὶ ἑσπέρας τέρψεις.	*8. şi se vor spăimânta cei ce locuiesc pe margini de semnele Tale; ieşirile dimineţii şi ale serii le vei veseli.*	**Ψλ64:8** Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου· ἐξόδους **πρωΐας** καὶ ἑσπέρας τέρψεις.	8. Tulbura-se-vor neamurile şi se vor spăimânta cei ce locuiesc pe margini de semnele Tale; ieşirile dimineţii şi ale serii le vei veseli.
Ψλ64:9 ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν· ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία **σου**.	*9. Cercetat-ai pământul şi l-ai îmbătat pe dânsul, înmulţit-ai a-l îmbogăţi pe el; râul lui Dumnezeu s-a umplut de ape; gătit-ai hrană lor, că aşa este gătirea Ta.*	**Ψλ64:9** Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. **Ψλ64:10** Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.	9. Cercetat-ai pământul şi l-ai adăpat pe dânsul, înmulţit-ai bogăţia pe el. 10. Râul lui Dumnezeu s-a umplut de ape; gătit-ai hrană lor, că aşa este gătirea.
Ψλ64:10 τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γενήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.	*10. Brazdele lui îmbătă-le, înmulţeşte rodurile lui, întru picăturile lui veseli-se-va răsărind.*	**Ψλ64:11** **Τὰς** αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γενήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.	11. Brazdele lui îmbătă-le, înmulţeşte roadele lui, întru picăturile lui veseli-se-va răsărind.
Ψλ64:11 εὐλογήσεις τὸν στέφανον τοῦ	*11. Binecuvânta-vei cununa anului bunătăţii*	**Ψλ64:12** Εὐλογήσεις τὸν στέφανον τοῦ	12. Binecuvânta-vei cununa anului bunătăţii

ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος·	*Tale, şi câmpii Tăi se vor umple de grăsime;*	ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.	Tale, şi câmpii Tăi se vor umple de grăsime.
Ψλ64:12 πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.	*12. îngrăşa-se-vor cele frumoase ale pustiei, şi cu bucurie dealurile se vor încinge.*	**Ψλ64:13** Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.	13. Îngrăşa-se-vor cele frumoase ale pustiei, şi cu bucurie dealurile se vor încinge.
Ψλ64:13 ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.	*13. Îmbrăcatu-s-au berbecii oilor, şi văile vor înmulţi grâul; striga-vor, pentru că vor cânta.*	**Ψλ64:14** Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.	14. Îmbrăcatu-s-au berbecii oilor, şi văile vor înmulţi grâul; striga-vor, pentru că vor cânta.
ΨΑΛΜΟΣ ΞΕ΄. Εἰς τὸ τέλος· ᾠδὴ ψαλμοῦ· ἀναστάσεως.	*PSALMUL 65* *Întru sfârşit; cântarea psalmului învierii.*	ΨΑΛΜΟΣ ΞΕ΄. Εἰς τὸ τέλος, ᾠδὴ ψαλμοῦ, ἀναστάσεως.	*PSALMUL 65* *Întru sfârşit, cântarea psalmului, învierii.*
Ψλ65:1 Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ.	*1. Strigaţi lui Dumnezeu tot pământul, cântaţi numelui Lui, daţi slavă laudei Lui.*	**Ψλ65:1** Ἀλαλάξατε τῷ **Κυρίῳ**, πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ.	1. Strigaţi Domnului tot pământul, cântaţi numelui Lui, daţi slavă laudei Lui.
Ψλ65:2 εἴπατε τῷ Θεῷ Ὡς φοβερὰ τὰ ἔργα σου· ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου·	*2. Ziceţi lui Dumnezeu: Cât sunt de înfricoşătoare lucrurile Tale; întru mulţimea puterii Tale minţi-vor Ţie vrăjmaşii Tăi.*	**Ψλ65:2** Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου· ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.	2. Ziceţi lui Dumnezeu: Cât sunt de înfricoşătoare lucrurile Tale; întru mulţimea puterii Tale Te vor linguşi vrăjmaşii Tăi.
Ψλ65:3 πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου.	*3. Tot pământul să se închine Ţie, şi să cânte Ţie, să cânte numelui Tău.*	**Ψλ65:3** Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν **δὴ** τῷ ὀνόματί σου, Ὕψιστε.	3. Tot pământul să se închine Ţie, şi să cânte Ţie, să cânte adică numelui Tău, Preaînalte.
Ψλ65:4 δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ· φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων,	*4. Veniţi şi vedeţi lucrurile lui Dumnezeu; cât este de înfricoşător în sfaturi, mai mult decât fiii oamenilor,*	**Ψλ65:4** Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, **ὡς** φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.	4. Veniţi şi vedeţi lucrurile lui Dumnezeu, cât este de înfricoşător în sfaturi, mai mult decât fiii oamenilor.
Ψλ65:5 ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί. ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ,	*5. Cel ce întoarce marea în uscat, prin râu vor trece cu piciorul. Acolo ne vom veseli de Dânsul,*	**Ψλ65:5** Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί.	5. Cel ce preface marea în uscat, prin râu vor trece cu piciorul.
		Ψλ65:6 Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος.	6. Acolo ne vom veseli de Dânsul, de Cel ce stăpâneşte întru puterea Sa veacul.
Ψλ65:6 τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος· οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ	*6. de Cel ce stăpâneşte întru puterea Sa veacul, ochii Lui spre neamuri privesc; cei ce amărăsc să nu se înalţe întru*	**Ψλ65:7** Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη	7. Ochii Lui spre neamuri privesc, cei ce

παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.	*sine.*	ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.	amărăsc să nu se înalţe întru sine.
Ψλ65:7 εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν καὶ ἀκουτίσασθε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ,	*7. Binecuvântaţi neamuri pe Dumnezeul nostru, şi auzit faceţi glasul laudei Lui,*	**Ψλ65:8** Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσασθε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ,	8. Binecuvântaţi neamuri pe Dumnezeul nostru, şi auzit faceţi glasul laudei Lui,
Ψλ65:8 τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωὴν καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.	*8. al Celui ce a pus sufletul meu întru viaţă, şi nu au dat spre clătinare picioarele mele.*	**Ψλ65:9** Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωὴν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.	9. al Celui ce a pus sufletul meu întru viaţă, şi nu a dat spre clătinare picioarele mele.
Ψλ65:9 ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον·	*9. Că ne-ai cercat pe noi, Dumnezeule, cu foc ne-ai lămurit pe noi, precum se lămureşte argintul;*	**Ψλ65:10** Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.	10. Că ne-ai cercat pe noi, Dumnezeule, cu foc ne-ai lămurit pe noi, precum se lămureşte argintul.
Ψλ65:10 εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.	*10. băgatu-ne-ai pe noi în cursă, pus-ai necazuri pe umărul nostru.*	**Ψλ65:11** Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν· ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν.	11. Băgatu-ne-ai pe noi în cursă, pus-ai necazuri pe umărul nostru; ridicat-ai oameni pe capetele noastre.
Ψλ65:11 ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.	*11. Ridicat-ai oameni pe capetele noastre, trecut-am prin foc şi prin apă, şi ne-ai scos pe noi întru odihnă.*	**Ψλ65:12** Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.	12. Trecut-am prin foc şi prin apă şi ne-ai scos pe noi întru odihnă.
Ψλ65:12 εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου,	*12. Intra-voi în casa Ta cu arderi de tot, da-voi Ţie rugăciunile mele,*	**Ψλ65:13** Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς **διέστειλε** τὰ χείλη μου καὶ **ἐλάλησε** τὸ στόμα μου ἐν τῇ θλίψει μου.	13. Intra-voi în casa Ta cu arderi de tot, da-voi Ţie rugăciunile mele, pe care le-au osebit buzele mele şi a grăit gura mea întru necazul meu.
Ψλ65:13 ἃς διέστειλεν τὰ χείλη μου καὶ ἐλάλησεν τὸ στόμα μου ἐν τῇ θλίψει μου·	*13. care le-au osebit buzele mele şi a grăit gura mea întru necazul meu;*		
Ψλ65:14 ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ποιήσω σοι βόας μετὰ χιμάρων.	*14. arderi de tot îngrăşate voi aduce Ţie cu tămâie şi cu berbeci, face-Ţi-voi Ţie boi cu ţapi.*	**Ψλ65:14** Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι, μετὰ θυμιάματος καὶ κριῶν, **ἀνοίσω** σοι βόας μετὰ χιμάρων.	14. Arderi de tot îngrăşate voi aduce Ţie, cu tămâie şi cu berbeci, aduce-Ţi-voi Ţie boi cu ţapi.
Ψλ65:15 δεῦτε ἀκούσατε καὶ διηγήσομαι, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα ἐποίησεν τῇ ψυχῇ μου.	*15. Veniţi de auziţi, şi voi povesti vouă, toţi cei ce vă temeţi de (pe) Dumnezeu, câte a făcut sufletului meu.*	**Ψλ65:15** Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι **ὑμῖν**, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα **ἐποίησε** τῇ ψυχῇ μου.	15. Veniţi de auziţi, şi voi povesti vouă, toţi cei ce vă temeţi de Dumnezeu, câte a făcut sufletului meu.

Ψλ65:16 πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.	*16. Către Dânsul cu gura mea am strigat, şi L-am înălţat sub limba mea.*	**Ψλ65:16** Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.	16. Către Dânsul cu gura mea am strigat, şi L-am înălţat sub limba mea.
Ψλ65:17 Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω Κύριος.	*17. Nedreptate de am văzut în inima mea, să nu mă asculte Domnul.*	**Ψλ65:17** Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω Κύριος.	17. Nedreptate de am văzut în inima mea, să nu mă asculte Domnul.
Ψλ65:18 διὰ τοῦτο εἰσήκουσέν μου ὁ Θεός, προσέσχεν τῇ φωνῇ τῆς δεήσεώς μου.	*18. Pentru aceasta m-a auzit Dumnezeu, luat-au aminte la glasul cererii mele.*	**Ψλ65:18** Διὰ τοῦτο **εἰσήκουσέ** μου ὁ Θεός, **προσέσχε** τῇ φωνῇ τῆς δεήσεώς μου.	18. Pentru aceasta m-a auzit Dumnezeu, luat-a aminte la glasul cererii mele.
Ψλ65:19 εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησεν τὴν προσευχήν μου καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.	*19. Bine este cuvântat Dumnezeu, care n-a depărtat rugăciunea mea şi mila Sa de la mine.*	**Ψλ65:19** Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.	19. Bine este cuvântat Dumnezeu, care n-a depărtat rugăciunea mea şi mila Sa de la mine.
ΨΑΛΜΟΣ ΞΣΤ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς ᾠδῆς τῷ Δαυΐδ.	*PSALMUL 66* *Întru sfârşit, întru laude; psalm de cântare al lui David.*	ΨΑΛΜΟΣ ΞΣΤ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς ᾠδῆς τῷ Δαυΐδ.	*PSALMUL 66* *Întru sfârşit, întru laude; psalm de cântare al lui David.*
Ψλ66:1 Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς	*1. Dumnezeule, milostiveşte-Te (îndură-Te) spre noi şi ne binecuvântează, luminează faţa Ta spre noi*	**Ψλ66:1** Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς **καὶ ἐλεήσαι ἡμᾶς**.	1. Dumnezeule, milostiveşte-Te spre noi şi ne binecuvântează, luminează faţa Ta spre noi şi ne miluieşte.
Ψλ66:2 τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσιν τὸ σωτήριόν σου.	*2. ca să cunoaştem pe pământ calea Ta, în toate neamurile mântuirea Ta.*	**Ψλ66:2** Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσιν τὸ σωτήριόν σου.	2. Ca să cunoaştem pe pământ calea Ta, în toate neamurile mântuirea Ta.
Ψλ66:3 ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.	*3. Mărturisească-se Ţie popoarele, Dumnezeule, mărturisească-se Ţie popoarele toate.*	**Ψλ66:3** Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.	3. Mărturisească-se Ţie popoarele, Dumnezeule, mărturisească-se Ţie popoarele toate.
Ψλ66:4 εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.	*4. Veselească-se şi să se bucure neamurile, că vei judeca popoarele întru dreptate, şi neamurile pe pământ vei povăţui.*	**Ψλ66:4** Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.	4. Veselească-se şi să se bucure neamurile, că vei judeca popoarele întru dreptate, şi neamurile pe pământ vei povăţui.
Ψλ66:5 ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.	*5. Mărturisească-se Ţie popoarele, Dumnezeule, mărturisească-se Ţie popoarele toate.*	**Ψλ66:5** Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες· γῆ **ἔδωκε** τὸν καρπὸν	5. Mărturisească-se Ţie popoarele, Dumnezeule, mărturisească-se Ţie popoarele toate; pământul şi-a dat rodul său.
Ψλ66:6 γῆ ἔδωκεν τὸν	*6. Pământul şi-a dat*		

καρπὸν αὐτῆς· εὐλογήσαι ἡμᾶς ὁ Θεὸς ὁ Θεὸς ἡμῶν.	*rodul său; binecuvântează-ne pe noi, Dumnezeule, Dumnezeul nostru.*	αὐτῆς. **Ψλ66:6** Εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν· εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.	6. Binecuvântează-ne pe noi, Dumnezeule, Dumnezeul nostru; binecuvântează-ne pe noi Dumnezeule, şi să se teamă de Dânsul toate marginile pământului.
Ψλ66:7 εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.	*7. Binecuvântează-ne pe noi Dumnezeule, şi să se teamă de Dânsul toate marginile pământului.*	Δόξα...	Slavă…
ΨΑΛΜΟΣ ΞΖ΄. Εἰς τὸ τέλος· τῷ Δαυΐδ ψαλμὸς ᾠδῆς.	*PSALMUL 67* *Întru sfârşit; psalm de cântare a lui David.*	ΨΑΛΜΟΣ ΞΖ΄. Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τῷ Δαυΐδ.	*PSALMUL 67* *Întru sfârşit; psalm de cântare a lui David.*
Ψλ67:1 Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ.	*1. Să se scoale Dumnezeu, şi să se risipească vrăjmaşii Lui, şi să fugă de la faţa Lui cei ce-L urăsc pe Dânsul.*	**Ψλ67:1** Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτὸν.	1. Să se scoale Dumnezeu şi să risipească vrăjmaşii Lui, şi să fugă de la faţa Lui cei ce-L urăsc pe Dânsul.
Ψλ67:2 ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.	*2. Precum piere fumul, să piară; precum se topeşte ceara de la faţa focului, aşa să piară păcătoşii de la faţa lui Dumnezeu.*	**Ψλ67:2** Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως **ἀπολοῦναι** οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.	2. Precum piere fumul, să piară; precum se topeşte ceara de la faţa focului, aşa să piară păcătoşii de la faţa lui Dumnezeu.
Ψλ67:3 καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.	*3. Şi drepţii să se veselească şi să se bucure înaintea lui Dumnezeu, să se desfăteze întru veselie.*	**Ψλ67:3** Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.	3. Şi drepţii să se veselească şi să se bucure înaintea lui Dumnezeu, să se desfăteze întru veselie.
Ψλ67:4 ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ,	*4. Cântaţi lui Dumnezeu, cântaţi numelui Lui; cale faceţi Celui ce S-a suit peste apusuri, Domnul este numele Lui, şi vă bucuraţi înaintea Lui. Să se turbure de faţa Lui,*	**Ψλ67:4** Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.	4. Cântaţi lui Dumnezeu, cântaţi numelui Lui; cale faceţi Celui ce S-a suit peste Apusuri; Domnul este numele Lui, şi vă bucuraţi înaintea Lui!
Ψλ67:5 τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν· ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.	*5. a Părintelui celor săraci şi a Judecătorului văduvelor; Dumnezeu este în locul cel sfânt al Său.*	**Ψλ67:5** **Ταραχθήτωσαν** ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν· ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.	5. Să se tulbure de faţa Lui, a Părintelui orfanilor şi Judecătorului văduvelor; Dumnezeu este în locul cel sfânt al Său.
Ψλ67:6 ὁ Θεὸς	*6. Dumnezeu face a*	**Ψλ67:6** Ὁ Θεὸς	6. Dumnezeu face a

κατοικίζει μονοτρόπους ἐν οἴκῳ ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.	*locui într-un chip în casă scoţând pe cei din legături cu bărbăţie, aşijderea pe cei amărâtori, pe cei ce locuiesc în morminturi.*	κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.	locui într-un chip în casă, scoţând pe cei din legături cu bărbăţie aşijderea pe cei amărâtori, pe cei ce locuiesc în morminturi.
Ψλ67:7 ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ	*7. Dumnezeule, când ieşeai Tu înaintea poporului Tău, când treceai Tu în pustie*	**Ψλ67:7** Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ,	7. Dumnezeule, când ieşeai Tu înaintea poporului Tău, când treceai Tu în pustie,
Ψλ67:8 γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν, ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινα, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.	*8. pământul s-a cutremurat, şi că cerurile au picurat de către faţa Dumnezeului Sinaiului, de către faţa Dumnezeului lui Israel.*	**Ψλ67:8** γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν, ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.	8. Pământul s-a cutremurat, şi că cerurile au picurat, de către faţa Dumnezeului Sinaiului, de către faţa Dumnezeului lui Israel.
Ψλ67:9 βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησεν, σὺ δὲ κατηρτίσω αὐτήν.	*9. Ploaie de bună voie vei osebi, Dumnezeule, moştenirii Tale, şi a slăbit, iar Tu o ai săvârşit pe dânsa.*	**Ψλ67:9** Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου, καὶ **ἠσθένησε**, σὺ δὲ κατηρτίσω αὐτήν.	9. Ploaie de bunăvoie vei osebi, Dumnezeule, moştenirii Tale, şi a slăbit, iar Tu o ai săvârşit pe dânsa.
Ψλ67:10 τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ· ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός.	*10. Dobitoacele Tale locuiesc într-însa; gătit-ai întru bunătatea Ta săracului, Dumnezeule.*	**Ψλ67:10** Τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ· ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός.	10. Dobitoacele Tale locuiesc într-însa, gătit-ai întru bunătatea Ta săracului, Dumnezeule.
Ψλ67:11 Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ,	*11. Domnul va da cuvânt celor ce bine-vestesc cu putere multă,*	**Ψλ67:11** Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ,	11. Domnul va da cuvânt celor ce bine-vestesc cu putere multă,
Ψλ67:12 ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.	*12. Împăratul puterilor, al Celui iubit, şi înfrumuseţarea casei să se împartă prăzi.*	**Ψλ67:12** ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, **τῇ** ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.	12. Împăratul puterilor, al Celui iubit, cu înfrumuseţarea casei să împartă prăzi.
Ψλ67:13 ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.	*13. De aţi dormi (v-aţi odihni) în mijlocul moştenirilor, aripile porumbiţei sunt cu argint poleite, şi între umerii ei cu strălucire de aur.*	**Ψλ67:13** Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.	13. De v-aţi odihni în mijlocul moştenirilor, aripile porumbiţei sunt cu argint poleite, şi între umerii ei cu strălucire de aur.
Ψλ67:14 ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς χιονωθήσονται ἐν Σελμων.	*14. Când osebeşte Cel ceresc împăraţi peste dânsa, ca zăpada se vor nălbi în Selmon.*	**Ψλ67:14** Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών.	14. Când osebeşte Cel ceresc împăraţi peste dânsa, ca zăpada se vor nălbi în Selmon.
Ψλ67:15 ὄρος τοῦ Θεοῦ ὄρος πῖον, ὄρος	*15. Muntele lui Dumnezeu, munte gras,*	**Ψλ67:15** Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον, ὄρος	15. Muntele lui Dumnezeu, munte gras,

τετυρωμένον, ὄρος πῖον.	*munte închegat, munte gras.*	τετυρωμένον, ὄρος πῖον.	munte închegat, munte gras,
Ψλ67:16 ἵνα τί ὑπολαμβάνετε, ὄρη τετυρωμένα, τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ; καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.	*16. Pentru ce gândiţi de munţii cei închegaţi, muntele în care a binevoit Dumnezeu a locui într-însul? Şi (Pentru) că Domnul va locui până în sfârşit.*	**Ψλ67:16** **Ἱνατί** ὑπολαμβάνετε, ὄρη τετυρωμένα, τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ; καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.	16. Pentru ce gândiţi de munţii cei închegaţi, muntele, în care a binevoit Dumnezeu a locui într-însul? Pentru că Domnul va locui până în sfârşit.
Ψλ67:17 τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων· ὁ Κύριος ἐν αὐτοῖς ἐν Σινα ἐν τῷ ἁγίῳ.	*17. Carul lui Dumnezeu cu miile înmulţit, mii de cei îmbelşugaţi; Domnul întru ei, în Sinai, în cel sfânt.*	**Ψλ67:17** Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων· ὁ Κύριος ἐν αὐτοῖς ἐν Σινᾶ **ἦν**, ἐν τῷ ἁγίῳ.	17. Carul lui Dumnezeu cu miile înmulţit, mii de cei îmbelşugaţi; Domnul întru ei în Sinai, în cel sfânt.
Ψλ67:18 ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώπῳ, καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι. Κύριος ὁ Θεὸς εὐλογητός,	*18. Suitu-Te-ai la înălţime, robit-ai robime, luat-ai daruri întru oameni, şi (pentru) că (pe) cei ce nu se supuneau (plecau) să (a) se sălăşluiască (sălăşlui). Domnul Dumnezeu bine este cuvântat,*	**Ψλ67:18** Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν **ἀνθρώποις**, καὶ γὰρ **ἀπειθοῦντας** τοῦ κατασκηνῶσαι.	18. Suitu-Te-ai la înălţime, robit-ai robime, luat-ai daruri întru oameni, pentru ca cei ce nu se supuneau să se sălăşluiască.
Ψλ67:19 εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν, κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.	*19. bine este cuvântat Domnul din zi, în zi, să sporească nouă Dumnezeul mântuirilor noastre.*	**Ψλ67:19** Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· **κατευοδῶσαι** ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.	19. Domnul Dumnezeu bine este cuvântat, bine este cuvântat Domnul din zi în zi; să sporească nouă Dumnezeul mântuirii noastre.
Ψλ67:20 ὁ Θεὸς ἡμῶν Θεὸς τοῦ σῴζειν, καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.	*20. Dumnezeul nostru, Dumnezeu a mântuit, şi ale Domnului, ale Domnului sunt ieşirile morţii.*	**Ψλ67:20** Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν, καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.	20. Dumnezeul nostru, Dumnezeu a mântui, şi ale Domnului, ale Domnului sunt ieşirile morţii.
Ψλ67:21 πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.	*21. Însă Dumnezeu va sfărâma capetele vrăjmaşilor Săi, creştetul părului celor ce umblă întru greşalele lor.*	**Ψλ67:21** Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.	21. Însă Dumnezeu va sfărâma capetele vrăjmaşilor Săi, creştetul părului celor ce umblă întru greşalele lor.
Ψλ67:22 εἶπεν Κύριος Ἐκ Βασαν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης,	*22. Zis-au Domnul: Din Vasan Mă voi întoarce, întoarce-Mă-voi întru adâncurile mării.*	**Ψλ67:22** **Εἶπε** Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.	22. Zis-a Domnul: Din Vasan Mă voi întoarce, întoarce-Mă-voi întru adâncurile mării,
Ψλ67:23 ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.	*23. Pentru ca să se înmoaie piciorul Tău în sânge, limba câinilor Tăi din a vrăjmaşilor mai-înainte ai Dânsului.*	**Ψλ67:23** Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.	23. Pentru ca să se afunde piciorul Tău în sânge; limba câinilor Tăi din vrăjmaşii de la Dânsul (a vrăjmaşilor mai-înainte ai

			Dânsului).
Ψλ67:24 ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.	*24. Văzutu-s-au umbletele Tale, Dumnezeule, umbletele Dumnezeului meu, ale Împăratului Celui din Cel Sfânt.*	**Ψλ67:24** Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.	24. Văzutu-s-au umbletele Tale, Dumnezeule, umbletele Dumnezeului meu, ale Împăratului Celui din Cel Sfânt.
Ψλ67:25 προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.	*25. Mai-nainte au apucat începătorii urmând cântătorilor, în mijlocul tinerelor celor ce ziceau în timpane.*	**Ψλ67:25** Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.	25. Mai-nainte au apucat începătorii urmând cântătorilor, în mijlocul tinerelor celor ce ziceau în timpane.
Ψλ67:26 ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, **τὸν** Κύριον ἐκ πηγῶν Ἰσραήλ.	*26. În biserici binecuvântaţi pe Dumnezeu, pe Domnul din izvoarele lui Israel.*	**Ψλ67:26** Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.	26. În biserici binecuvântaţi pe Dumnezeu, pe Domnul din izvoarele lui Israel.
Ψλ67:27 ἐκεῖ Βενιαμιν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ιουδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλων, ἄρχοντες Νεφθαλι.	*27. Acolo Veniamin cel mai tânăr întru uimire, boierii (începătorii) Iudei povăţuitorii lor, boierii Zavulonului, boierii Neftalimului.*	**Ψλ67:27** Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλών, ἄρχοντες **Νεφθαλείμ**.	27. Acolo Veniamin cel mai tânăr în uimire, boierii (începătorii) lui Iuda, povăţuitorii lor, boierii Zabulonului, boierii Neftalimului.
Ψλ67:28 ἔντειλαι, ὁ Θεός, τῇ δυνάμει σου, δυνάμωσον, ὁ Θεός, τοῦτο, ὃ κατειργάσω ἡμῖν.	*28. Porunceşte Dumnezeule, Puterii Tale; întăreşte, Dumnezeule, aceasta, lucrarea care o ai făcut întru noi.*	**Ψλ67:28** Ἔντειλαι, ὁ Θεός, τῇ δυνάμει σου· δυνάμωσον, ὁ Θεός, τοῦτο, ὃ κατειργάσω **ἐν** ἡμῖν.	28. Porunceşte, Dumnezeule, Puterii Tale; întăreşte, Dumnezeule, aceasta, lucrarea pe care o ai făcut întru noi.
Ψλ67:29 ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ιερουσαλημ σοὶ οἴσουσιν βασιλεῖς δῶρα.	*29. De la Biserica Ta în Ierusalim, Ţie vor aduce împăraţii daruri.*	**Ψλ67:29** Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἰερουσαλὴμ σοὶ **οἴσουσι** βασιλεῖς δῶρα.	29. De la Biserica Ta în Ierusalim, Ţie vor aduce împăraţii daruri.
Ψλ67:30 ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσιν τῶν λαῶν τοῦ μὴ ἀποκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ· διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.	*30. Ceartă fiarele trestiei, adunarea taurilor întru junicile popoarelor, ca să se încuie cei ispitiţi cu argint; risipeşte neamurile cele ce voiesc războaie.*	**Ψλ67:30** Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς **δαμάλεσι** τῶν λαῶν, **τοῦ ἐγκλεισθῆναι** τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.	30. Ceartă fiarele trestiei, adunarea taurilor întru junicile popoarelor, ca să se încuie cei ispitiţi cu argint.
Ψλ67:31 ἥξουσιν πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.	*31. Veni-vor soli din Egipt, Etiopia mai-nainte va apuca mâna ei la Dumnezeu.*	**Ψλ67:31** Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα· **ἥξουσι** πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.	31. Risipeşte neamurile cele ce voiesc războaie; veni-vor soli din Egipt, Etiopia mai-nainte va apuca mâna ei la Dumnezeu.
Ψλ67:32 αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ.	*32. Împărăţiile pământului, cântaţi lui Dumnezeu, cântaţi Domnului.*	**Ψλ67:32** Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ, τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ	32. Împărăţiile pământului, cântaţi lui Dumnezeu, cântaţi Domnului, Celui ce S-a suit peste cerul cerului,
Ψλ67:33 **ψάλατε τῷ**	*33. Cântaţi lui*		

Θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς· ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.	*Dumnezeu Celui ce S-a suit peste cerul cerului, spre răsărituri; iată va da glasul Său, glas de putere.*	κατὰ ἀνατολάς· ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.	spre Răsărituri; iată, va da glasul Său, glas de putere.
Ψλ67:34 δότε δόξαν τῷ Θεῷ· ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.	*34. Daţi slavă lui Dumnezeu! Peste Israel mare este cuviinţa Lui, şi puterea Lui în nori.*	**Ψλ67:33** Δότε δόξαν τῷ Θεῷ· ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.	33. Daţi slavă lui Dumnezeu! Peste Israel mare este cuviinţa Lui, şi puterea Lui în nori.
Ψλ67:35 θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. εὐλογητὸς ὁ Θεός.	*35. Minunat este Dumnezeu întru sfinţii Săi; Dumnezeul lui Israel însuşi va da putere şi întărire poporului său. Bine este cuvântat Dumnezeu.*	**Ψλ67:34** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· ὁ Θεὸς Ἰσραήλ, αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ· εὐλογητὸς ὁ Θεός. Δόξα...	34. Minunat este Dumnezeu întru sfinţii Săi; Dumnezeul lui Israel, însuşi va da putere şi întărire poporului Său; bine este cuvântat Dumnezeu. Slavă…
ΨΑΛΜΟΣ ΞΗ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τῷ Δαυΐδ.	*PSALMUL 68* *Întru sfârşit, pentru cei ce se vor schimba; a lui David.*	ΨΑΛΜΟΣ ΞΗ΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 68* *Întru sfârşit, pentru cei ce se vor schimba; psalm al lui David.*
Ψλ68:1 Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.	*1. Mântuieşte-mă Dumnezeule, că au intrat ape până la sufletul meu.*	**Ψλ68:1** Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.	1. Mântuieşte-mă, Dumnezeule, că au intrat ape până la sufletul meu.
Ψλ68:2 ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέν με.	*2. Afundatu-m-am în noroiul adâncului, şi nu este stare; venit-am întru adâncurile mării, şi viforul m-a potopit.*	**Ψλ68:2** Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς **κατεπόντισέ** με.	2. Afundatu-m-am în noroiul adâncului şi nu este stare; venit-am întru adâncurile mării, şi viforul m-a potopit.
Ψλ68:3 ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν ἐπὶ τὸν Θεόν μου.	*3. Ostenit-am strigând, amorţit-a grumazul meu, slăbit-au ochii mei, nădăjduind eu spre Dumnezeul meu.*	**Ψλ68:3** Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν ἐπὶ τὸν Θεόν μου.	3. Ostenit-am strigând, amorţit-a gâtlejul meu, slăbit-au ochii mei, nădăjduind eu spre Dumnezeul meu.
Ψλ68:4 ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν, ἐκραταιώθησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως· ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.	*4. Înmulţitu-s-au mai pe sus decât perii capului meu cei ce mă urăsc în zadar, întăritu-s-au vrăjmaşii mei, cei ce mă prigoneau pe mine cu nedreptate; cele ce nu am jefuit, atunci am plătit.*	**Ψλ68:4** Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν. **Ψλ68:5** Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως· ἃ οὐχ ἥρπαζον, τότε	4. Înmulţitu-s-au mai mult decât perii capului mei cei ce să urăsc în zadar. 5. Întăritu-s-au vrăjmaşii mei, cei ce mă prigoneau pe mine cu nedreptate; cele ce nu am jefuit, atunci am

		ἀπετίννυον.	plătit.
Ψλ68:5 ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν.	*5. Dumnezeule, Tu ai cunoscut nepriceperea mea, şi greşalele mele de la Tine nu s-au ascuns.*	**Ψλ68:6** Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ **ἀπεκρύβησαν**.	6. Dumnezeule, Tu ai cunoscut nepriceperea mea, şi greşalele mele de la Tine nu s-au ascuns.
Ψλ68:6 μὴ αἰσχυνθείησαν ἐπ' ἐμοὶ οἱ ὑπομένοντές σε, Κύριε Κύριε τῶν δυνάμεων, μὴ ἐντραπείησαν ἐπ' ἐμοὶ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ,	*6. Să nu se ruşineze pentru mine cei ce Te aşteaptă pe Tine, Doamne, Doamne al puterilor, nici să se înfrunteze pentru mine cei ce Te caută pe Tine, Dumnezeul lui Israel,*	**Ψλ68:7** Μὴ αἰσχυνθείησαν ἐπ' ἐμοὶ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων, μὴ ἐντραπείησαν ἐπ' **ἐμὲ** οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ.	7. Să nu se ruşineze despre mine cei ce Te aşteaptă pe Tine, Doamne, Doamne al puterilor, nici să se înfrunteze pentru mine cei ce Te caută pe Tine, Dumnezeul lui Israel.
Ψλ68:7 ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.	*7. că pentru Tine am suferit ocară, acoperit-a ruşinea obrazul meu.*	**Ψλ68:8** Ὅτι **ἕνεκά σου** ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.	8. Că pentru Tine am suferit ocară, acoperit-a ruşinea obrazul meu.
Ψλ68:8 ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου,	*8. Înstreinat am fost fraţilor Mei, şi nemernic fiilor Maicii Mele,*	**Ψλ68:9** Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.	9. Înstrăinat am fost fraţilor Mei, şi străin fiilor Maicii Mele.
Ψλ68:9 ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέν με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ.	*9. că râvna casei Tale M-a mâncat, şi ocările celor ce Te ocăresc pe Tine au căzut asupra Mea.*	**Ψλ68:10** Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου **κατέφαγέ** με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε **ἐπέπεσον** ἐπ' ἐμέ.	10. Că râvna casei Tale M-a mâncat, şi ocările celor ce Te ocărăsc pe Tine au căzut asupra Mea.
Ψλ68:10 καὶ συνέκαμψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμὸν ἐμοί·	*10. Şi am acoperit cu post sufletul Meu, şi s-a făcut spre ocară Mie;*	**Ψλ68:11** Καὶ συνέκαμψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς **ὀνειδισμοὺς** ἐμοί.	11. Şi am acoperit cu post sufletul Meu, şi s-a făcut spre ocară Mie.
Ψλ68:11 καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.	*11. şi am pus îmbrăcămintea Mea sac, şi M-am făcut lor spre pildă.*	**Ψλ68:12** Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.	12. Şi am pus îmbrăcăminte Mea sac, şi M-am făcut lor spre pildă.
Ψλ68:12 κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον.	*12. Împotriva Mea limbuţeau cei ce şedeau în porţi, şi împotriva Mea cântau cei ce beau vin.*	**Ψλ68:13** Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν **πύλαις**, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον.	13. Împotriva Mea limbuţeau cei ce şedeau în porţi, şi împotriva Mea cântau cei ce beau vin.
Ψλ68:13 ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε· καιρὸς εὐδοκίας, ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου· ἐπάκουσόν μου ἐν ἀληθείᾳ τῆς σωτηρίας	*13. Iar eu cu rugăciunea Mea către Tine Doamne; vremea este de bunăvoinţă, Dumnezeule, întru mulţimea milei Tale auzi-Mă, întru adevărul*	**Ψλ68:14** Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε· καιρὸς εὐδοκίας. **Ψλ68:15** ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν	14. Iar Eu, cu rugăciunea Mea către Tine, Doamne, vremea este de bunăvoinţă. 15. Dumnezeule, întru mulţimea milei Tale auzi-Mă, întru adevărul

σου.	*mântuirii Tale.*	ἀληθείᾳ τῆς σωτηρίας σου.	mântuirii Tale.
Ψλ68:14 σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων·	*14. Mântuieşte-Mă de tină, ca să nu Mă afund; izbăveşte-Mă de cei ce Mă urăsc şi de adâncurile apelor;*	**Ψλ68:16** Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ **τῶν βαθέων** τῶν ὑδάτων.	16. Mântuieşte-Mă de tină, ca să nu Mă afund; izbăveşte-Mă de cei ce Mă urăsc şi de adâncurile apelor.
Ψλ68:15 μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.	*15. ca să nu Mă înece pe Mine viforul apei, nici să Mă înghită adâncul, nici să-şi închidă peste Mine puţul gura sa.*	**Ψλ68:17** Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.	17. Ca să nu Mă înece pe Mine viforul apei, nici să Mă înghită adâncul, nici să-şi închidă peste Mine puţul gura sa.
Ψλ68:16 εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.	*16. Auzi-Mă, Doamne, că bună este mila Ta; după mulţimea îndurărilor Tale caută spre mine.*	**Ψλ68:18** Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.	18. Auzi-Mă, Doamne, că bună este mila Ta; după mulţimea îndurărilor Tale caută spre mine.
Ψλ68:17 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.	*17. Să nu întorci faţa Ta de la sluga Ta, că Mă necăjesc, degrab Mă auzi.*	**Ψλ68:19** Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.	19. Să nu întorci faţa Ta de la sluga Ta, că Mă necăjesc, degrab Mă auzi.
Ψλ68:18 πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν, ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.	*18. Ia aminte spre sufletul Meu, şi-l mântuieşte pe el, pentru vrăjmaşii mei izbăveşte-Mă.*	**Ψλ68:20** Πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν, ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.	20. Ia aminte spre sufletul Meu, şi-l mântuieşte pe el; pentru vrăjmaşii Mei izbăveşte-mă.
Ψλ68:19 σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου· ἐναντίον σου πάντες οἱ θλίβοντές με.	*19. Că tu cunoşti ocara mea şi ruşinea mea şi înfruntarea (întoarcerea) mea; înaintea (împotriva) Ta sunt toţi cei ce mă necăjesc.*	**Ψλ68:21** Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου· ἐναντίον σου πάντες οἱ θλίβοντές με.	21. Că Tu cunoşti ocara Mea şi ruşinea Mea şi defăimarea (întoarcerea) Mea; înaintea (împotriva) Ta sunt toţi cei ce Mă necăjesc.
Ψλ68:20 ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν, καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξεν, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.	*20. Ocară a aşteptat sufletul meu şi ticăloşie, şi am aşteptat pe cel ce s-ar mâhni cu Mine, şi nu era; şi pe cel ce M-ar mângâia, şi n-am aflat.*	**Ψλ68:22** Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν· καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ **ὑπῆρξε**, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.	22. Ocară a aşteptat sufletul Meu şi ticăloşie; şi am aşteptat pe cel ce s-ar mâhni cu Mine, şi nu era, şi pe cel ce M-ar mângâia, şi n-am aflat.
Ψλ68:21 καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.	*21. Şi au dat spre mâncarea mea fiere, şi spre setea Mea M-au adăpat cu oţet.*	**Ψλ68:23** Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.	23. Şi au dat spre mâncarea Mea fiere, şi spre setea Mea M-au adăpat cu oţet.
Ψλ68:22 γενηθήτω ἡ	*22. Facă-se masa lor*	**Ψλ68:24** Γενηθήτω ἡ	24. Facă-se masa lor

τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον·	*înaintea lor spre cursă şi spre răsplătire şi spre sminteală;*	τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.	înaintea lor spre cursă şi spre răsplătire şi spre sminteală.
Ψλ68:23 σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον·	*23. întunece-se ochii lor ca să nu vadă, şi spinarea lor pururea o gârboveşte;*	**Ψλ68:25** Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον.	25. Întunece-se ochii lor ca să nu vadă, şi spinarea lor pururea o gârboveşte.
Ψλ68:24 ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.	*24. varsă peste dânşii urgia Ta, şi mânia urgiei Tale să-i cuprindă pe ei.*	**Ψλ68:26** Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.	26. Varsă peste dânşii urgia Ta, şi mânia urgiei Tale să-i cuprindă pe ei.
Ψλ68:25 γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν·	*25. Facă-se curtea lor pustie, şi în locaşurile lor să nu fie locuitori;*	**Ψλ68:27** Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.	27. Facă-se curtea lor pustie, şi în locaşurile lor să nu fie locuitori.
Ψλ68:26 ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυματιῶν σου προσέθηκαν.	*26. că pe care Tu L-ai bătut, ei L-au gonit, şi peste durerea rănilor Mele au adăugat.*	**Ψλ68:28** Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυματιῶν **μου** προσέθηκαν.	28. Că pe care Tu L-ai bătut, ei L-au gonit, şi peste durerea rănilor Mele au adăugat.
Ψλ68:27 πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου·	*27. Adaugă fărădelege spre fărădelegea lor, şi să nu intre întru dreptatea Ta;*	**Ψλ68:29** Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.	29. Adaugă fărădelege spre fărădelegea lor, şi să nu intre întru dreptatea Ta.
Ψλ68:28 ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.	*28. şteargă-se din cartea celor vii şi cu drepţi să nu se scrie.*	**Ψλ68:30** Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.	30. Şteargă-se din cartea celor vii, şi cu drepţii să nu se scrie.
Ψλ68:29 πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ, **καὶ** ἡ σωτηρία **τοῦ προσώπου** σου, ὁ Θεός, ἀντελάβετό μου.	*29. Sărac şi cu durere sunt Eu, şi mântuirea Ta, Dumnezeule, să mă sprijinească.*	**Ψλ68:31** Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεός, **ἀντιλάβοιτό** μου.	31. Sărac şi cu durere sunt Eu; mântuirea Ta, Dumnezeule, să mă sprijinească.
Ψλ68:30 αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει,	*30. Lăuda-voi numele Dumnezeului meu cu cântare, mări-L-voi pe El întru laudă,*	**Ψλ68:32** Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.	32. Lăuda-voi numele Dumnezeului meu cu cântare, mări-L-voi pe El întru laudă.
Ψλ68:31 καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς.	*31. şi-I va plăcea lui Dumnezeu mai mult decât viţelul tânăr ce-i răsare coarne şi unghii.*	**Ψλ68:33** Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς.	33. Şi-I va plăcea lui Dumnezeu mai mult decât viţelul tânăr ce-i răsare coarne şi unghii.
Ψλ68:32 ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν·	*32. Vadă săracii şi să se veselească; căutaţi pe Dumnezeu, şi va fi viu*	**Ψλ68:34** Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν·	34. Vadă săracii şi să se veselească; căutaţi pe Dumnezeu şi va fi viu

ἐκζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν,	*sufletul vostru,*	ἐκζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.	sufletul vostru.
Ψλ68:33 ὅτι εἰσήκουσεν τῶν πενήτων ὁ Κύριος καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.	*33. că a ascultat pe cei săraci Domnul, şi pe cei în obezi ferecaţi ai Săi nu i-au urgisit.*	**Ψλ68:35** Ὅτι **εἰσήκουσε** τῶν πενήτων ὁ Κύριος καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.	35. Că a ascultat pe cei săraci Domnul, şi pe cei în obezi ferecaţi ai Săi nu i-a urgisit.
Ψλ68:34 αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς.	*34. Laude-L pe Dânsul cerul şi pământul, marea şi toate câte se târăsc într-însa.*	**Ψλ68:36** Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν **αὐτῇ**.	36. Laude-L pe Dânsul cerurile şi pământul, marea, şi toate câte se târăsc într-însa.
Ψλ68:35 ὅτι ὁ Θεὸς σώσει τὴν Σιων, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ιουδαίας, καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν·	*35. Că Dumnezeu va mântui Sionul, şi se vor zidi cetăţile Iudeii, şi vor (va) locui acolo şi o vor (va) moşteni pe ea;*	**Ψλ68:37** Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς ᾿Ιουδαίας, καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν.	37. Că Dumnezeu va mântui Sionul, şi se vor (vei) zidi cetăţile Iudeii, şi vor (Tu împreună vei) locui acolo şi o vor (vei) moşteni pe ea.
Ψλ68:36 καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.	*36. şi seminţia robilor Lui vor locui în (vor ţine de) ea, şi cei ce iubesc numele Lui vor locui (împreună cu Tine) într-însa.*	**Ψλ68:38** Καὶ τὸ σπέρμα τῶν δούλων **σου** καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομα **σου** κατασκηνώσουσιν ἐν αὐτῇ.	38. Şi seminţia robilor Tăi vor locui în (vor ţine de) ea, şi cei ce iubesc numele Tău vor locui (împreună cu Tine) într-însa.
ΨΑΛΜΟΣ ΞΘ΄. Εἰς τὸ τέλος· τῷ Δαυῒδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον.	*PSALMUL 69* *Întru sfârşit; a lui David, spre aducere-aminte (pomenire), ca să mă mântuiască pe mine Domnul.*	ΨΑΛΜΟΣ ΞΘ΄. Εἰς τὸ τέλος· τῷ Δαυῒδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον.	*PSALMUL 69* *Întru sfârşit; a lui David, spre aducere-aminte (pomenire), ca să mă mântuiască pe mine Domnul.*
Ψλ69:1 Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες.	*1. Dumnezeule, spre ajutorul meu ia aminte.*	**Ψλ69:1** Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· **Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.**	1. Dumnezeule, spre ajutorul meu ia aminte; Doamne, ca să-mi ajuţi mie grăbeşte[8].
Ψλ69:2 αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντές μου τὴν ψυχήν, ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά,	*2. Să se ruşineze şi să se înfrunteze cei ce caută sufletul meu, să se întoarcă înapoi şi să se ruşineze cei ce-mi voiesc mie rele,*	**Ψλ69:2** Αἰσχυνθείησαν καὶ **ἐντραπήτωσαν** οἱ ζητοῦντές τὴν ψυχήν μου. **Ψλ69:3** **Ἀποστραφήτωσαν** εἰς τὰ ὀπίσω καὶ **καταισχυνθήτωσαν** οἱ βουλόμενοί μοι κακά.	2. Să se ruşineze şi să se înfrunteze cei ce caută sufletul meu. 3. Întoarcă-se înapoi şi să se ruşineze cei ce-mi voiesc mie rele.

[8] După cum vedem, în edițile mai noi, găsim un stih mai mare.

Ψλ69:3 ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι Εὖγε εὖγε.	*3. întoarcă-se îndată ruşinându-se cei ce-mi grăiesc mie: Bine, bine!*	**Ψλ69:4** **Ἀποστραφήτωσαν** παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.	4. Întoarcă-se îndată ruşinându-se cei ce-mi grăiesc mie: Bine, bine!
Ψλ69:4 ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, καὶ λεγέτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ Θεός, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.	*4. Să se bucure şi să se veselească de Tine toţi cei ce Te caută pe Tine, şi să zică pururea: Mărit să fie (Mărească-se) Dumnezeu, cei ce iubesc mântuirea Ta.*	**Ψλ69:5** Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, **ὁ Θεός**, καὶ λεγέτωσαν **διαπαντός**· Μεγαλυνθήτω **ὁ Κύριος**, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.	5. Să se bucure şi să se veselească de Tine toţi cei ce Te caută pe Tine, Dumnezeule, şi să zică pururea: Mărit să fie Domnul, cei ce iubesc mântuirea Ta.
Ψλ69:5 ἐγὼ δὲ πτωχὸς καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. βοηθός μου καὶ ῥύστης μου εἶ σύ· Κύριε, μὴ χρονίσῃς.	*5. Iar eu sărac sunt şi sărman; Dumnezeule, ajută-mi. Ajutorul meu şi Izbăvitorul meu eşti Tu; Doamne, nu zăbovi.*	**Ψλ69:6** Ἐγὼ δὲ πτωχὸς **εἰμι** καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. **Ψλ69:7** Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς. Δόξα...	6. Iar eu sărac sunt şi sărman; Dumnezeule, ajută-mi. 7. Ajutorul meu şi Izbăvitorul meu eşti Tu, Doamne, nu zăbovi. Slavă…
ΨΑΛΜΟΣ Ο΄. Τῷ Δαυῒδ· υἱῶν Ιωναδαβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων.	*PSALMUL 70* *A lui David; psalm fiilor lui Ionadab, şi despre cei ce s-au robit mai întâi.*	ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ ΨΑΛΜΟΣ Ο΄. Τῷ Δαυῒδ· **ψαλμὸς τῶν** υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων· ἀνεπίγραφος παρ' Ἑβραίοις.	Catisma a zecea *PSALMUL 70* *A lui David; psalm fiilor lui Ionadab, şi despre cei ce s-au robit mai întâi, nescris deasupra la evrei.*
Ψλ70:1 Ὁ Θεός, ἐπὶ σοὶ ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.	*1. Dumnezeule, spre Tine am nădăjduit, să nu mă ruşinez în veac.*	**Ψλ70:1** Ἐπὶ σοὶ, **Κύριε**, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.	1. Spre Tine, Doamne am nădăjduit, să nu mă ruşinezi în veac.
Ψλ70:2 ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με, κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με.	*2. Întru dreptatea Ta izbăveşte-mă şi mă scoate, pleacă către mine urechea Ta şi mă mântuieşte.*	**Ψλ70:2** Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με, κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με.	2. Întru dreptatea Ta, izbăveşte-mă şi mă scoate, pleacă urechea Ta către mine şi mă mântuieşte.
Ψλ70:3 γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με, ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.	*3. Fii mie Dumnezeu scutitor (apărător) şi spre loc tare, ca să mă mântuieşti, că întărirea mea şi scăparea mea eşti Tu.*	**Ψλ70:3** Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με, ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.	3. Fii mie Dumnezeu apărător şi spre loc tare ca să mă mântuieşti, că întărirea mea şi scăparea mea eşti Tu.
Ψλ70:4 ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος·	*4. Dumnezeul meu, izbăveşte-mă din mâna păcătosului, din mâna călcătorului de lege, şi a celui ce face*	**Ψλ70:4** Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος.	4. Dumnezeul meu, izbăveşte-mă din mâna păcătosului, din mâna călcătorilor de lege şi a celui ce face

	strâmbătate;		strâmbătate.
Ψλ70:5 ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε· Κύριος ἡ ἐλπίς μου ἐκ νεότητός μου.	*5. că Tu eşti aşteptarea mea, Doamne, Doamne nădejdea mea din tinereţile mele.*	**Ψλ70:5** Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε· **Κύριε**, ἡ ἐλπίς μου ἐκ νεότητός μου.	5. Că Tu eşti aşteptarea mea, Doamne; Doamne, nădejdea mea din tinereţile mele.
Ψλ70:6 ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής· ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός.	*6. Întru Tine m-am întărit din pântece; din mitrasul maicii mele Tu eşti Acoperitorul meu; întru Tine este lauda mea pururea.*	**Ψλ70:6** Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής· ἐν σοὶ ἡ ὕμνησίς μου **διαπαντός**.	6. Întru Tine m-am întărit din pântece, din mitrasul maicii mele Tu eşti Acoperitorul meu; întru Tine este lauda mea pururea.
Ψλ70:7 ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθὸς κραταιός.	*7. Ca o minune m-am făcut multora, şi Tu eşti ajutorul meu cel tare.*	**Ψλ70:7** Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθὸς κραταιός.	7. Ca o minune m-am făcut multora, şi Tu eşti ajutorul meu cel tare.
Ψλ70:8 πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.	*8. Să se umple gura mea de laudă, ca să laud slava Ta, toată ziua mare-cuviinţa Ta.*	**Ψλ70:8** Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.	8. Să se umple gura mea de laudă, ca să laude slava Ta, toată ziua mare-cuviinţa Ta.
Ψλ70:9 μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρους, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.	*9. Să nu mă lepezi în vremea bătrâneţilor, când va lipsi vârtutea mea, să nu mă laşi pe mine.*	**Ψλ70:9** Μὴ ἀπορρίψῃς με εἰς καιρὸν **γήρως**, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.	9. Să nu mă lepezi în vremea bătrâneţilor, când va lipsi vârtutea mea să nu mă laşi pe mine.
Ψλ70:10 ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοὶ καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ	*10. Că au zis vrăjmaşii mei mie, şi cei ce păzesc sufletul meu s-au sfătuit împreună,*	**Ψλ70:10** Ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοὶ, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ, λέγοντες· Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.	10. Că au zis vrăjmaşii mei mie, şi cei ce păzesc sufletul meu s-au sfătuit împreună, zicând: Părăsitu-l-a Dumnezeu, urmăriţi-l şi-l prindeţi pe el, că nu este cel ce izbăveşte.
Ψλ70:11 λέγοντες Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.	*11. zicând: Dumnezeu l-a părăsit pe dânsul, goniţi-l şi-l prindeţi pe el, că nu este cel ce izbăveşte.*		
Ψλ70:12 ὁ Θεός, μὴ μακρύνῃς ἀπ’ ἐμοῦ· ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.	*12. Dumnezeule, să nu te depărtezi de la mine; Dumnezeul meu, spre ajutorul meu ia aminte!*	**Ψλ70:11** Ὁ Θεός **μου**, μὴ μακρύνῃς ἀπ’ ἐμοῦ· ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.	11. Dumnezeul meu, să nu Te depărtezi de la mine; Dumnezeul meu, spre ajutorul meu ia aminte!
Ψλ70:13 αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.	*13. Să se ruşineze şi să lipsească cei ce clevetesc sufletul meu, să se îmbrace cu ruşine şi cu înfruntare cei ce caută cele rele mie.*	**Ψλ70:12** Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου, περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.	12. Să se ruşineze şi să lipsească cei ce clevetesc sufletul meu, să se îmbrace cu ruşine şi cu ocară cei ce caută cele rele mie.
Ψλ70:14 ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ καὶ	*14. Iar eu pururea voi nădăjdui spre Tine, şi*	**Ψλ70:13** Ἐγὼ δὲ **διαπαντὸς** ἐλπιῶ **ἐπὶ σέ**,	13. Iar eu pururea voi nădăjdui spre Tine şi voi

προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.	*voi adăuga spre toată lauda Ta.*	καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.	adăuga spre toată lauda Ta.
Ψλ70:15 τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου, ὅτι οὐκ ἔγνων γραμματείας.	*15. Gura mea va vesti dreptatea Ta, toată ziua mântuirea Ta, că n-am cunoscut cele din cărţi (sofismele cărturarilor).*	Ψλ70:14 Τὸ στόμα μου **ἀναγγελεῖ** τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου.	14. Gura mea va vesti dreptatea Ta, toată ziua mântuirea Ta.
Ψλ70:16 εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.	*16. Intra-voi întru puterea Domnului, Doamne, aduce-mi-voi aminte de dreptatea Ta numai.*	Ψλ70:15 Ὅτι οὐκ ἔγνων γραμματείας· εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου· Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.	15. Că n-am cunoscut cele din cărţi; intra-voi în puterea Domnului; Doamne, aduce-mi-voi aminte de dreptatea Ta numai.
Ψλ70:17 ἐδίδαξάς με, ὁ Θεός, ἐκ νεότητός μου, καὶ μέχρι νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.	*17. M-ai învăţat, Dumnezeule, din tinereţile mele, şi până acum voi povesti minunile Tale.*	Ψλ70:16 **Ὁ Θεός μου, ἃ** ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι **τοῦ** νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.	16. Dumnezeul meu, Cel ce m-ai învăţat din tinereţile mele, şi până acum voi povesti minunile Tale.
Ψλ70:18 καὶ ἕως γήρους καὶ πρεσβείου, ὁ Θεός, μὴ ἐγκαταλίπῃς με, ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου πάσῃ τῇ γενεᾷ τῇ ἐρχομένῃ, τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου.	*18. Şi până la bătrâneţe şi cărunteţe, Dumnezeule, să nu mă părăseşti, până voi vesti braţul Tău la tot neamul ce va să vină, puterea Ta şi dreptatea Ta.*	Ψλ70:17 Καὶ ἕως **γήρως** καὶ πρεσβείου, ὁ Θεός **μου**, μὴ ἐγκαταλίπῃς με, ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ·	17. Şi până la bătrâneţe şi cărunteţe, Dumnezeul meu, să nu mă părăseşti, până voi vesti braţul Tău la tot neamul ce va să vină;
Ψλ70:19 ὁ Θεός, ἕως ὑψίστων ἃ ἐποίησας μεγαλεῖα· ὁ Θεός, τίς ὅμοιός σοι;	*19. Dumnezeule, până la cele preaînalte, care ai făcut măriri; Dumnezeule, cine este asemenea Ţie?*	Ψλ70:18 Τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου, ὁ Θεός, ἕως τῶν ὑψίστων ἃ ἐποίησας **μοι** μεγαλεῖα· ὁ Θεός, τίς ὅμοιός σοι;	18. puterea Ta şi dreptatea Ta, Dumnezeule, până la cele preaînalte, Care ai făcut mie măriri; Dumnezeule, cine este asemenea Ţie?
Ψλ70:20 ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς **πάλιν** ἀνήγαγές με.	*20. Câte ai arătat mie, necazuri multe şi rele, şi întorcându-Te m-ai înviat şi din adâncurile pământului iarăşi m-ai scos.*	Ψλ70:19 Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με.	19. Câte ai arătat mie, necazuri multe şi rele, şi întorcându-Te m-ai înviat, şi din adâncurile pământului m-ai scos.
Ψλ70:21 ἐπλεόνασας τὴν μεγαλοσύνην σου καὶ ἐπιστρέψας παρεκάλεσάς με	*21. Înmulţit-ai mărirea Ta şi întorcându-Te m-ai mângâiat*	Ψλ70:20 Ἐπλεόνασας **ἐπ' ἐμὲ** τὴν μεγαλοσύνην σου, καὶ ἐπιστρέψας παρεκάλεσάς με, **καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.**	20. Înmulţit-ai spre mine mărirea Ta, şi întorcându-Te m-ai mângâiat, şi din adâncurile pământului iarăşi m-ai scos.
Ψλ70:22 καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύει ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός· ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ	*22. şi că eu mă voi mărturisi Ţie întru instrumente de cântare, adevărul Tău, Dumnezeule; cânta-voi*	Ψλ70:21 Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι **ἐν λαοῖς, Κύριε,** ἐν **σκεύεσι** ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός·	21. Şi că eu mă voi mărturisi Ţie între popoare, Doamne, întru instrumente de cântare adevărul Tău,

ἅγιος τοῦ Ἰσραήλ.	*Ţie din alăută, Sfântul lui Israel.*	ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ.	Dumnezeule; cânta-voi Ţie întru alăută, Sfântul lui Israel.
Ψλ70:23 ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω.	*23. Bucura-se-vor buzele mele când voi cânta Ţie, şi sufletul meu, pe care l-ai izbăvit.*	**Ψλ70:22** Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω.	22. Bucura-se-vor buzele mele când voi cânta Ţie, şi sufletul meu pe care l-ai izbăvit.
Ψλ70:24 ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσιν καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.	*24. Iar încă şi limba mea toată ziua va cugeta dreptatea Ta, când se vor ruşina şi se vor înfrunta cei ce caută cele rele mie.*	**Ψλ70:23** Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν **αἰσχυνθῶσι** καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.	23. Iar încă şi limba mea toată ziua va cugeta dreptatea Ta, când se vor ruşina şi se vor înfrunta cei ce caută cele rele mie.
ΨΑΛΜΟΣ ΟΑ΄. Εἰς Σαλωμων.	*PSALMUL 71* *Către Solomon.*	ΨΑΛΜΟΣ ΟΑ΄. Εἰς τὸ τέλος, εἰς Σαλωμών· ψσαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 71* *Întru sfârşit, către Solomon, psalmul lui David.*
Ψλ71:1 Ὁ Θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως	*1. Dumnezeule, judecata Ta dă-o Împăratului, şi dreptatea Ta Fiului Împăratului*	**Ψλ71:1** Ὁ Θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως,	1. Dumnezeule, judecata Ta dă-o Împăratului, şi dreptatea Ta Fiului Împăratului,
Ψλ71:2 κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοὺς πτωχούς σου ἐν κρίσει.	*2. să judece pe poporul Tău întru dreptate, şi pe săracii Tăi întru judecată.*	**Ψλ71:2** κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.	2. ca să judece pe poporul Tău întru dreptate, şi pe săracii Tăi cu judecată.
Ψλ71:3 ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου καὶ οἱ βουνοὶ **ἐν** δικαιοσύνῃ.	*3. Să ia munţii pacea poporului Tău şi dealurile în dreptate.*	**Ψλ71:3** Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου, καὶ οἱ βουνοὶ **δικαιοσύνην**.	3. Să ia munţii pacea poporului şi dealurile dreptate.
Ψλ71:4 κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων καὶ ταπεινώσει συκοφάντην	*4. Judeca-va pe săracii poporului şi va mântui pe fiii lipsiţilor, şi va smeri pe clevetitor*	**Ψλ71:4** Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην.	4. Judeca-va pe săracii poporului şi va mântui pe fiii celor lipsiţi, şi va smeri pe clevetitor.
Ψλ71:5 καὶ συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν	*5. şi va rămâne cu soarele, şi mai înainte de luna neamului neamurilor*	**Ψλ71:5** Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν.	5. Şi va rămâne cu soarele, şi mai-nainte de luna neamului neamurilor.
Ψλ71:6 καὶ καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.	*6. şi pogorâ-Se-va ca ploaia pe lână şi ca o picătură ce pică pe pământ.*	**Ψλ71:6** **Καὶ** καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ **σταγὼν ἡ στάζουσα** ἐπὶ τὴν γῆν.	6. Pogorâ-Se-va ca ploaia pe lână şi ca o picătură ce pică pe pământ.
Ψλ71:7 ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ	*7. Răsări-va în zilele Lui dreptatea, şi mulţimea*	**Ψλ71:7** Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ	7. Răsări-va în zilele Lui dreptatea, şi mulţimea

δικαιοσύνη καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.	*păcii, până când se va lua luna.*	δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.	păcii, până când se va lua luna.
Ψλ71:8 καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.	*8. Şi va domni de la mare până la mare şi de la râuri până la marginile lumii.*	**Ψλ71:8** Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.	8. Şi va domni de la mare până la mare şi de la râuri până la marginile lumii.
Ψλ71:9 ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσιν·	*9. Înaintea Lui vor cădea Etiopienii, şi vrăjmaşii Lui ţărâna vor linge;*	**Ψλ71:9** Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν **λείξουσι**.	9. Înaintea Lui vor cădea Etiopienii, şi vrăjmaşii Lui ţărână vor linge.
Ψλ71:10 βασιλεῖς Θαρσις καὶ **αἱ** νῆσοι δῶρα προσοίσουσιν, βασιλεῖς Ἀράβων καὶ Σαβα δῶρα προσάξουσιν·	*10. împăraţii Tarsisului şi ostroavelor daruri vor aduce, împăraţii arabilor şi Saba daruri vor aduce;*	**Ψλ71:10** Βασιλεῖς Θαρσὶς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσι.	10. Împăraţii Tarsisului şi ostroavele daruri vor aduce, împăraţii arabilor şi Saba daruri vor aduce.
Ψλ71:11 καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.	*11. şi se vor închina Lui toţi împăraţii, toate neamurile vor sluji Lui.*	**Ψλ71:11** Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς **τῆς γῆς**, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.	11. Şi se vor închina Lui toţi împăraţii pământului, toate neamurile vor sluji Lui.
Ψλ71:12 ὅτι ἐρρύσατο πτωχὸν ἐκ **χειρὸς** δυνάστου καὶ πένητα, ᾧ οὐχ ὑπῆρχεν βοηθός·	*12. Că a izbăvit pe sărac din mâna puternicului şi lipsitul, căruia nu-i era ajutor;*	**Ψλ71:12** Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός.	12. Că a izbăvit pe sărac de la cel puternic, şi pe lipsitul căruia nu-i era ajutor.
Ψλ71:13 φείσεται πτωχοῦ καὶ πένητος καὶ ψυχὰς πενήτων σώσει·	*13. nu se va îndura de cel sărac şi lipsit şi sufletele lipsiţilor va mântui;*	**Ψλ71:13** Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει.	13. Va cruţa pe cel sărac şi lipsit şi sufletele lipsiţilor va mântui.
Ψλ71:14 ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.	*14. de camătă şi de strâmbătate va izbăvi sufletele lor, şi cinstit numele lor înaintea Lui.*	**Ψλ71:14** Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα **αὐτοῦ** ἐνώπιον **αὐτῶν**.	14. De camătă şi de nedreptate va izbăvi sufletul lor, şi cinstit va fi numele Lui înaintea lor.
Ψλ71:15 καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.	*15. Şi va fi viu şi se va da Lui din aurul Arabiei, şi se vor ruga împrejurul Lui pururea, toată ziua bine îl vor cuvânta pe Dânsul.*	**Ψλ71:15** Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ **διαπαντός**, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.	15. Şi va fi viu şi se va da Lui din aurul Arabiei, şi se vor ruga împrejurul Lui pururea, toată ziua binecuvânta-vor pe Dânsul.
Ψλ71:16 ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων· ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς	*16. Fi-va întărire pe pământ peste vârfurile munţilor; prea se va înălţa mai pe sus decât Libanul rodul Lui, şi vor*	**Ψλ71:16** Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων· ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς	16. Fi-va întărire pe pământ peste vârfurile munţilor; prea se va înălţa mai presus decât Libanul rodul Lui, şi vor

αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.	*înflori din cetate ca iarba pământului.*	αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.	înflori din cetate ca iarba pământului.
Ψλ71:17 **ἔστω** τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ· καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.	*17. Fi-va numele Lui binecuvântat în veci, mai-nainte de soare rămâne numele Lui; și se vor binecuvânta întru El toate seminţiile pământului, toate neamurile Îl vor ferici pe El.*	**Ψλ71:17** Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου **διαμένει** τὸ ὄνομα αὐτοῦ. **Ψλ71:18** Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.	17. Fi-va numele Lui binecuvântat în veci, mai-nainte de soare rămâne (este) numele Lui. 18. Şi se vor binecuvânta întru El toate seminţiile pământului, toate neamurile Îl vor ferici pe El.
Ψλ71:18 Εὐλογητὸς Κύριος ὁ Θεὸς **ὁ Θεὸς** Ἰσραήλ ὁ ποιῶν θαυμάσια μόνος,	*18. Bine este cuvântat Domnul Dumnezeu, Dumnezeul lui Israel, Cel ce face minuni singur,*	**Ψλ71:19** Εὐλογητὸς Κύριος, ὁ Θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.	19. Bine este cuvântat Domnul, Dumnezeul lui Israel, Cel ce singur face minuni.
Ψλ71:19 καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο γένοιτο.	*19. și binecuvântat este numele slavei Lui în veac și în veacul veacului, și se va umple de slava Lui tot pământul. Fie, fie.*	**Ψλ71:20** Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. **Ψλ71:21** Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. Γένοιτο, γένοιτο. Δόξα... Ἐξέλιπον οἱ ὕμνοι Δαυῒδ υἱοῦ Ἰεσσαί.	20. Şi binecuvântat este numele slavei Lui în veac şi în veacul veacului. 21. Şi tot pământul se va umple de slava Lui. Fie, fie. Slavă… *Sfârşitu-s-au cântările lui David, fiul lui Iesei*[9].
ΨΑΛΜΟΣ ΟΒ΄. Ψαλμὸς τῷ Ασαφ.	*PSALMUL 72* *Psalmul lui Asaf.*	ΨΑΛΜΟΣ ΟΒ΄. Ψαλμὸς τῷ Ἀσάφ.	*PSALMUL 72* *Psalmul lui Asaf.*
Ψλ72:1 Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεός, τοῖς εὐθέσι τῇ καρδίᾳ. **Ψλ72:2** ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.	*1. Cât este de bun Dumnezeul lui Israel celor drepţi la inimă.* *2. Iar mie puţin de nu mi s-au alunecat picioarele, puţin de nu s-au vărsat paşii mei.*	**Ψλ72:1** Ὡς ἀγαθὸς ὁ Θεός τῷ Ἰσραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ. ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.	1. Cât de bun este Dumnezeul lui Israel celor drepţi la inimă! Iar mie puţin de nu mi s-au alunecat picioarele, puţin de nu mi s-au revărsat paşii mei.

[9] Toți psalmii sunt ai lui David, aici s-au sfârșit doar laudelele pe care le cânta el cu nalba sau cu alăuta sa, urmează cei pe care i-a scris și i-a dat altora să-i cânte (Vezi Psaltirea în tâlcuirea Sfinților Părinți, *Preacuvântarea,* volumul I, tâlcuirea la Psalmul 72, volumul II, p. 32.

Ψλ72:3 ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις εἰρήνην ἁμαρτωλῶν θεωρῶν,	*3. Că am râvnit asupra celor fărădelege, pacea păcătoşilor văzând,*	**Ψλ72:2** Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.	2. Că am râvnit asupra celor fărădelege, pacea păcătoşilor văzând.
Ψλ72:4 ὅτι οὐκ ἔστιν ἀνάνευσις τῷ θανάτῳ αὐτῶν καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν·	*4. că nu este privirea spre moartea lor şi întărire întru bătaia lor;*	**Ψλ72:3** Ὅτι οὐκ ἔστιν ἀνάνευσις τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.	3. Că nu este privirea spre moartea lor şi întărire întru bătaia lor.
Ψλ72:5 ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶν καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.	*5. întru ostenelile oamenilor nu sunt, şi cu oamenii nu vor lua bătăi.*	**Ψλ72:4** Ἐν κόποις ἀνθρώπων οὐκ **εἰσὶ**, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.	4. Întru ostenelile oamenilor nu sunt şi cu oamenii împreună nu vor lua bătăi.
Ψλ72:6 διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία, περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν αὐτῶν.	*6. Pentru aceasta i-au cuprins pe ei mândria, îmbrăcatu-s-au cu nedreptatea şi necinstea lor.*	**Ψλ72:5** Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία **αὐτῶν εἰς τέλος**, περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν **ἑαυτῶν**.	5. Pentru aceasta i-a stăpânit pe ei mândria lor până în sfârşit, îmbrăcatu-s-au cu nedreptatea şi necinstea lor.
Ψλ72:7 ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν διήλθοσαν εἰς διάθεσιν καρδίας·	*7. Ieşi-va ca din seu nedreptatea lor, trecut-au întru dragostea inimii.*	**Ψλ72:6** Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν, διήλθοσαν εἰς διάθεσιν καρδίας.	6. Ieşi-va ca din seu nedreptatea lor, trecut-au întru dragostea inimii.
Ψλ72:8 διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν·	*8. Gândit-au şi au grăit întru vicleşug, nedreptate spre înălţime au grăit;*	**Ψλ72:7** Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.	7. Gândit-au şi au grăit întru vicleşug, nedreptate spre înălţime au grăit.
Ψλ72:9 ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.	*9. pus-au asupra cerului gura lor, şi limba lor a trecut pe pământ.*	**Ψλ72:8** Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.	8. Pus-au asupra cerului gura lor şi limba lor a trecut pe pământ.
Ψλ72:10 διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται αὐτοῖς.	*10. Pentru aceasta se va întoarce poporul Meu aici, şi zilele pline se vor afla întru dânşii.*	**Ψλ72:9** Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται αὐτοῖς.	9. Pentru aceasta se va întoarce poporul Meu aici, şi zile pline se vor afla întru dânşii.
Ψλ72:11 καὶ εἶπαν Πῶς ἔγνω ὁ Θεός, καὶ εἰ ἔστιν γνῶσις ἐν τῷ ὑψίστῳ;	*11. Şi au zis: Cum a cunoscut Dumnezeu, şi de este cunoştinţă întru cel Preaînalt?*	**Ψλ72:10** Καὶ **εἶπον**· Πῶς ἔγνω ὁ Θεός; καὶ εἰ **ἔστι** γνῶσις ἐν τῷ Ὑψίστῳ;	10. Şi au zis: Cum a cunoscut Dumnezeu? Şi oare este cunoştinţă întru Cel Preaînalt?
Ψλ72:12 ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦνται· εἰς τὸν αἰῶνα κατέσχον πλούτου.	*12. Iată, aceştia păcătoşi şi se îndestulează, în veac au cuprins avuţie.*	**Ψλ72:11** Ἰδοὺ οὗτοι **οἱ** ἁμαρτωλοὶ καὶ **εὐθηνοῦντες**, εἰς τὸν αἰῶνα κατέσχον πλούτου.	11. Iată, aceştia sunt păcătoşii şi se îndestulează, în veac au cuprins avuţie.
Ψλ72:13 καὶ εἶπα Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου·	*13. Şi am zis: Au doară în deşert am îndreptat inima mea şi am spălat întru cei nevinovaţi mâinile mele;*	**Ψλ72:12** Καὶ εἶπα· Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου.	12. Şi am zis: Au doară în deşert am îndreptat inima mea, şi am spălat întru cei nevinovaţi mâinile mele.

Ψλ72:14 καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωίας.	*14. şi am fost bătut toată ziua, şi mustrarea mea în dimineţi.*	**Ψλ72:13** Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς **πρωΐας**.	13. Şi am fost bătut toată ziua, şi mustrarea mea în dimineţi.
Ψλ72:15 εἰ ἔλεγον Διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.	*15. De am grăit: Voi spune aşa, iată, neamul fiilor Tăi am făgăduit.*	**Ψλ72:14** Εἰ ἔλεγον· Διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.	14. De aş fi grăit: Aş fi spus aşa, iată, cu neamul fiilor Tăi am stricat făgăduinţa.
Ψλ72:16 καὶ ὑπέλαβον τοῦ γνῶναι τοῦτο· κόπος ἐστὶν ἐναντίον μου,	*16. Şi am socotit că va cunoaşte aceasta; osteneală este înaintea mea,*	**Ψλ72:15** Καὶ ὑπέλαβον τοῦ γνῶναι, τοῦτο κόπος ἐστὶν ἐναντίον μου·	15. Şi am socotit a cunoaşte, aceasta este osteneală înaintea mea;
Ψλ72:17 ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.	*17. până ce voi intra la sfinţitorul lui Dumnezeu şi voi înţelege cele mai de pe urmă ale lor.*	**Ψλ72:16** ἕως **οὗ** εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.	16. până ce voi intra la sfinţitorul lui Dumnezeu şi voi înţelege cele mai de pe urmă ale lor.
Ψλ72:18 πλὴν διὰ τὰς δολιότητας ἔθου αὐτοῖς, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.	*18. Însă pentru vicleşugurile lor, doborâtu-i-ai pe ei când s-au înălţat.*	**Ψλ72:17** Πλὴν διὰ τὰς δολιότητας **αὐτῶν** ἔθου αὐτοῖς **κακά**, κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.	17. Însă pentru vicleşugurile lor le-ai pus lor rele, doborâtu-i-ai pe ei când s-au înălţat.
Ψλ72:19 πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα· ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.	*19. Cum s-au făcut întru pustiire îndată! S-au stins, pierit-au pentru nelegiuirea lor.*	**Ψλ72:18** Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα; ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.	18. Cum s-au făcut întru pustiire îndată? S-au stins, au pierit pentru nelegiuirea lor.
Ψλ72:20 ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.	*20. Ca visul celui ce se deşteaptă, Doamne, în cetatea Ta chipul lor de nimica îl vei face (îl vei da afară).*	**Ψλ72:19** Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου, Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.	19. Ca visul celui ce se deşteaptă, Doamne, în cetatea Ta chipul lor de nimic îl vei face.
Ψλ72:21 ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν,	*21. Că s-a aprins inima mea, şi rărunchii mei s-au schimbat,*	**Ψλ72:20** Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν· **κἀγὼ** ἐξουδενωμένος καὶ οὐκ ἔγνων.	20. Că s-a aprins inima mea şi rărunchii mei s-au schimbat; şi eu defăimat şi n-am cunoscut.
Ψλ72:22 καὶ ἐγὼ ἐξουδενωμένος καὶ οὐκ ἔγνων, κτηνώδης ἐγενόμην παρὰ σοί.	*22. şi eu defăimat şi n-am cunoscut, dobitoc m-am făcut la Tine.*	**Ψλ72:21** Κτηνώδης ἐγενόμην παρὰ σοί· **κἀγὼ διαπαντὸς** μετὰ σοῦ.	21. Dobitoc m-am făcut la Tine; şi eu pururea cu Tine.
Ψλ72:23 καὶ ἐγὼ διὰ παντὸς μετὰ σοῦ, ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου,	*23. Şi eu pururea cu Tine, ţinutu-m-ai de mâna dreptei mele,*	**Ψλ72:22** Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, **καὶ** ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με.	22. Ţinutu-m-ai de mâna dreptei mele, şi în sfatul Tău m-ai povăţuit, şi în slavă m-ai primit.
Ψλ72:24 ἐν τῇ βουλῇ σου ὡδήγησάς με καὶ μετὰ δόξης προσελάβου με.	*24. în sfatul Tău m-ai povăţuit, şi cu slavă m-ai primit.*		
Ψλ72:25 τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ,	*25. Că ce-mi este mie în cer, şi de la Tine ce am*	**Ψλ72:23** Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ;	23. Că ce este mie în cer? Şi de la Tine ce am

καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;	*voit pe pământ?*	καὶ παρὰ **σὲ** τί ἠθέλησα ἐπὶ τῆς γῆς;	voit pe pământ?
Ψλ72:26 ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα.	*26. Stinsu-s-au inima mea şi trupul (carnea) meu, Dumnezeul inimii mele şi partea mea; Dumnezeule, în veac.*	**Ψλ72:24** Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα.	24. Stinsu-s-a inima mea şi trupul meu, Dumnezeul inimii mele şi partea mea, Dumnezeule, în veac.
Ψλ72:27 ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, ἐξωλέθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.	*27. Că iată cei ce se depărtează pe sineşi de la Tine vor pieri, pierdut-ai pe tot cel ce curveşte de la Tine.*	**Ψλ72:25** Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, ἐξωλέθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.	25. Că iată, cei ce se depărtează pe sineşi de la Tine vor pieri; pierdut-ai pe tot cel ce curveşte de la Tine.
Ψλ72:28 ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστιν, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιων.	*28. Iar mie a mă lipi de Dumnezeu bine este, a pune întru Domnul nădejdea mea, ca să vestesc eu toate laudele Tale în porţile fetei Sionului.*	**Ψλ72:26** Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου, τοῦ **ἐξαγγεῖλαί με** πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.	26. Iar mie a mă lipi de Dumnezeu bine este, a pune întru Domnul nădejdea mea, ca să vestesc toate laudele Tale în porţile fiicei Sionului.
ΨΑΛΜΟΣ ΟΓ΄. Συνέσεως τῷ Ασαφ.	*PSALMUL 73* *De înţelegere lui Asaf.*	ΨΑΛΜΟΣ ΟΓ΄. Συνέσεως τῷ Ἀσάφ.	*PSALMUL 73* *De înţelegere lui Asaf.*
Ψλ73:1 Ἵνα τί ἀπώσω, ὁ Θεός, εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;	*1. Pentru ce m-ai lepădat, Dumnezeule, până în sfârşit, iuţitu-s-a mânia Ta peste oile păşunii Tale?*	**Ψλ73:1** **Ἱνατί**, ὁ Θεός, ἀπώσω εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;	1. Pentru ce, Dumnezeule, m-ai lepădat până în sfârşit? Iuţitu-s-a mânia Ta peste oile păşunii Tale?
Ψλ73:2 μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς· ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιων τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.	*2. Adu-ţi aminte de adunarea Ta, care o ai câştigat din început, izbăvit-ai toiagul moştenirii Tale, muntele Sionului acesta, carele ai locuit într-însul.*	**Ψλ73:2** Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς. **Ψλ73:3** Ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.	2. Adu-Ţi aminte de adunarea Ta, pe care o ai câştigat din început. 3. Izbăvit-ai toiagul moştenirii Tale, Muntele Sionului acesta, care ai locuit într-însul.
Ψλ73:3 ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου.	*3. Ridică mâinile Tale peste mândriile lor întru sfârşit, câte a viclenit vrăjmaşul întru cel sfânt al Tău.*	**Ψλ73:4** Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν **τῷ ἁγίῳ** σου.	4. Ridică mâinile Tale întru mândriile lor până în sfârşit; câte a viclenit vrăjmaşul întru cel sfânt al Tău.
Ψλ73:4 καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου, ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν.	*4. Şi s-au fălit cei ce Te urăsc pe Tine în mijlocul praznicului Tău, pus-au semnele lor semne, şi n-au cunoscut.*	**Ψλ73:5** Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. **Ψλ73:6** Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν, ὡς εἰς	5. Şi s-au fălit cei ce Te urăsc pe Tine în mijlocul praznicului Tău. 6. Pus-au semnele lor semne şi n-au cunoscut, ca într-o ieşire mai
Ψλ73:5 ὡς εἰς τὴν	*5. Ca într-o ieşire mai*		

εἴσοδον ὑπεράνω,	*presus,*	τὴν **ἔξοδον** ὑπεράνω.	presus.
Ψλ73:6 ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς, ἐπὶ τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.	*6. ca într-o dumbravă de lemne, cu topoare au tăiat uşile ei, deodată cu secure şi cu bardă au surpat-o pe ea.*	**Ψλ73:7** Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.	7. Ca într-o dumbravă de lemne, cu topoare au tăiat uşile ei deodată, cu secure şi cu bardă au surpat-o pe ea.
Ψλ73:7 ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.	*7. Ars-au cu foc sfinţitorul Tău, în pământ au spurcat locaşul numelui Tău.*	**Ψλ73:8** Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.	8. Ars-au cu foc sfinţitorul Tău, în pământ au spurcat locaşul numelui Tău.
Ψλ73:8 εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγγένεια αὐτῶν ἐπὶ τὸ αὐτό Δεῦτε καὶ κατακαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.	*8. Zis-au întru inima lor rudeniile lor împreună: Veniţi şi să ardem toate praznicele lui Dumnezeu de pe pământ.*	**Ψλ73:9** Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν **αἱ** συγγένεια αὐτῶν ἐπὶ τὸ αὐτό· Δεῦτε καὶ κατακαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.	9. Zis-au întru inima lor rudeniile lor împreună: Veniţi să ardem toate praznicele lui Dumnezeu de pe pământ.
Ψλ73:9 τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.	*9. Semnele noastre n-am văzut, nu este încă prooroc, şi pe noi nu ne va mai cunoaşte.*	**Ψλ73:10** Τὰ σημεῖα **αὐτῶν** οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.	10. Semnele lor n-am văzut, nu este încă proroc şi pe noi nu ne va mai cunoaşte.
Ψλ73:10 ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;	*10. Până când, Dumnezeule, va ocărî vrăjmaşul, va întărâta cel potrivnic numele Tău, până în sfârşit?*	**Ψλ73:11** Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;	11, Până când, Dumnezeule, va ocărî vrăjmaşul, va întărâta cel potrivnic numele Tău, până în sfârşit?
Ψλ73:11 ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;	*11. Pentru ce întorci mâna Ta şi dreapta Ta din mijlocul sânului Tău până în sfârşit?*	**Ψλ73:12** **Ἱνατί** ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;	12. Pentru ce întorci mâna Ta şi dreapta Ta din mijlocul sânului Tău, până în sfârşit?
Ψλ73:12 ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.	*12. Iar Dumnezeu, Împăratul nostru, mai-nainte de veac a lucrat mântuire în mijlocul pământului.*	**Ψλ73:13** Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ **αἰώνων**, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.	13. Iar Dumnezeu, Împăratul nostru mai-nainte de veac a lucrat mântuire în mijlocul pământului.
Ψλ73:13 σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.	*13. Tu ai întărit întru puterea Ta marea, Tu ai zdrobit capetele balaurilor în apă.*	**Ψλ73:14** Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.	14. Tu ai întărit întru puterea Ta marea, Tu ai zdrobit capetele balaurilor în apă.
Ψλ73:14 σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα	*14. Tu ai sfărâmat capul balaurului, datu-l-ai pe el mâncare popoarelor Etiopiei.*	**Ψλ73:15** Σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα	15. Tu ai sfărâmat capul balaurului, datu-l-ai pe el mâncare popoarelor Etiopiei.

λαοῖς τοῖς Αἰθίοψιν.		λαοῖς τοῖς **Αἰθίοψι**.	
Ψλ73:15 σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους, σὺ ἐξήρανας ποταμοὺς Ηθαμ.	*15. Tu ai rupt izvoare şi pâraie, Tu ai uscat râurile Ithamului.*	**Ψλ73:16** Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.	16. Tu ai rupt izvoarele şi pâraiele, Tu ai uscat râurile Ithamului.
Ψλ73:16 σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.	*16. A Ta este ziua şi a Ta este noaptea, Tu ai săvârşit zorile şi soarele.*	**Ψλ73:17** Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.	17. A Ta este ziua şi a Ta este noaptea;Tu ai săvârşit zorile şi soarele.
Ψλ73:17 σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς· θέρος καὶ ἔαρ, σὺ ἔπλασας αὐτά.	*17. Tu ai făcut toate cele frumoase ale pământului; vara şi primăvara, Tu le-ai zidit pe ele.*	**Ψλ73:18** Σὺ ἐποίησας πάντα τὰ **ὡραῖα** τῆς γῆς· θέρος καὶ ἔαρ, σὺ ἔπλασας αὐτά.	18. Tu ai făcut toate cele frumoase ale pământului; vara şi primăvara, Tu le-ai zidit.
Ψλ73:18 μνήσθητι ταύτης· ἐχθρὸς ὠνείδισεν τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνεν τὸ ὄνομά σου.	*18. Adu-Ţi aminte de aceasta: Vrăjmaşul a ocărât pe Domnul, şi poporul cel fără de minte a întărâtat numele Tău.*	**Ψλ73:19** Μνήσθητι ταύτης· ἐχθρὸς **ὠνείδισε** τὸν Κύριον, καὶ λαὸς ἄφρων **παρώξυνε** τὸ ὄνομά σου.	19. Adu-Ţi aminte de aceasta: Vrăjmaşul a ocărât pe Domnul şi poporul cel fără de minte a întărâtat numele Tău.
Ψλ73:19 μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.	*19. Să nu dai fiarelor sufletul ce se mărturiseşte Ţie; sufletele lipsiţilor Tăi să nu le uiţi până în sfârşit.*	**Ψλ73:20** Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι, τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.	20. Să nu dai fiarelor sufletul ce se mărturiseşte Ţie; sufletele celor lipsiţi ai Tăi să nu le uiţi, până în sfârşit.
Ψλ73:20 ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.	*20. Caută spre aşezământul Tău, că s-au umplut cei întunecaţi ai pământului de casele fărădelegilor.*	**Ψλ73:21** Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.	21. Caută spre aşezământul Tău, că s-au umplut cei întunecaţi ai pământului de casele fărădelegilor.
Ψλ73:21 μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος· πτωχὸς καὶ πένης αἰνέσουσιν τὸ ὄνομά σου.	*21. Să nu se întoarcă smerit şi înfruntat; săracul şi lipsitul vor lăuda numele Tău.*	**Ψλ73:22** Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος· πτωχὸς καὶ πένης **αἰνέσουσι** τὸ ὄνομά σου.	22. Să nu se întoarcă smerit şi înfruntat; săracul şi lipsitul vor lăuda numele Tău.
Ψλ73:22 ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου· μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.	*22. Scoală, Dumnezeule, judecă judecata Ta; adu-Ţi aminte de ocara Ta, cea de către cel nebun toată ziua.*	**Ψλ73:23** Ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου· μνήσθητι **τοῦ ὀνειδισμοῦ** σου **τοῦ** ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.	23. Scoală, Dumnezeule, judecă judecata Ta; adu-Ţi aminte de ocara Ta, cea de către cel nebun toată ziua.
Ψλ73:23 μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου· ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντὸς **πρὸς σέ**.	*23. Nu uita glasul rugătorilor Tăi; mândria celor ce Te urăsc pe Tine s-a înălţat pururi spre Tine.*	**Ψλ73:24** Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου· ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη **διαπαντὸς**. Δόξα...	24. Nu uita glasul rugătorilor Tăi; mândria celor ce Te urăsc pe Tine s-a înălţat pururea. Slavă…

ΨΑΛΜΟΣ ΟΔ΄. Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· ψαλμὸς τῷ Ασαφ ᾠδῆς.	*PSALMUL 74* *Întru sfârşit;să nu strici; psalm de cântare lui Asaf.*	ΨΑΛΜΟΣ ΟΔ΄. Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ.	*PSALMUL 74* *Întru sfârşit, să nu strici; psalm de cântare lui Asaf.*
Ψλ74:1 Ἐξομολογησόμεθά σοι, ὁ Θεός, ἐξομολογησόμεθα καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.	*1. Mărturisi-ne-vom Ţie, Dumnezeule, mărturisi-ne-vom şi vom chema numele Tău.*	**Ψλ74:1** Ἐξομολογησόμεθά σοι, ὁ Θεός, ἐξομολογησόμεθά **σοι**, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.	1. Mărturisi-ne-vom Ţie, Dumnezeule, mărturisi-ne-vom Ţie şi vom chema numele Tău.
Ψλ74:2 διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅταν λάβω καιρόν· ἐγὼ εὐθύτητας κρινῶ.	*2. Povesti-voi toate minunile Tale, când voi lua vreme; Eu îndreptări judec.*	**Ψλ74:2** Διηγήσομαι πάντα τὰ θαυμάσιά σου. ὅταν λάβω καιρόν, ἐγὼ εὐθύτητας κρινῶ.	2. Povesti-voi toate minunile Tale. Când voi lua vreme, Eu dreptatea voi judeca.
Ψλ74:3 ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ, ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.	*3. Topitu-s-a pământul şi toţi cei ce locuiesc într-însul, Eu am întărit stâlpii lui.*	**Ψλ74:3** ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.	3. Topitu-s-a pământul şi toţi cei ce locuiesc în el; Eu am întărit stâlpii lui.
Ψλ74:4 εἶπα τοῖς παρανομοῦσιν Μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσιν Μὴ ὑψοῦτε κέρας,	*4. Zis-am celor fărădelege: Nu faceţi fărădelege! Şi celor ce greşesc: Nu vă înălţaţi cornul!*	**Ψλ74:4** Εἶπα τοῖς **παρανομοῦσι**· Μὴ παρανομεῖτε, καὶ τοῖς **ἁμαρτάνουσι**· Μὴ ὑψοῦτε κέρας.	4. Zis-am celor fărădelege: Nu faceţi fărădelege! Şi celor ce greşesc: Nu vă înălţaţi cornul!
Ψλ74:5 μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.	*5. Nu vă ridicaţi la înălţime cornul vostru, nu grăiţi împotriva lui Dumnezeu nedreptate!*	**Ψλ74:5** Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, **καὶ** μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.	5. Nu vă ridicaţi la înălţime cornul vostru şi nu grăiţi împotriva lui Dumnezeu nedreptate!
Ψλ74:6 ὅτι οὔτε ἀπὸ ἐξόδων οὔτε ἀπὸ δυσμῶν οὔτε ἀπὸ ἐρήμων ὀρέων,	*6. Că nici de la răsărituri, nici de la apusuri, nici de la munţii pustii,*	**Ψλ74:6** ὅτι οὔτε **ἐξ** ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων,	6. Că nici din răsărituri, nici de la apusuri, nici de la munţii pustii,
Ψλ74:7 ὅτι ὁ Θεὸς κριτής ἐστιν, τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ.	*7. că Dumnezeu judecător este, pe acesta smereşte şi pe acesta înalţă.*	**Ψλ74:7** ὅτι ὁ Θεὸς κριτής **ἐστι**, τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ.	7. că Dumnezeu judecător este, pe acesta smereşte şi pe acesta înalţă.
Ψλ74:8 ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος, καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.	*8. Că paharul este în mâna Domnului cu vin neamestecat, plin de amestecătură, şi a turnat din acesta în acela, însă drojdiile lui nu s-au deşertat, bea-vor toţi păcătoşii pământului.*	**Ψλ74:8** ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου, πλῆρες κεράσματος, καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο. **Ψλ74:9** πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.	8. Că paharul este în mâna Domnului cu vin neamestecat (nestricat), plin de amestecătură (dregere), şi a turnat din acesta în acela. 9. Însă drojdiile lui nu s-au deşertat, bea-vor toţi păcătoşii pământului.
Ψλ74:9 ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακὼβ·	*9. Iar eu mă voi bucura în veac, cânta-voi Dumnezeului lui Iacov;*	**Ψλ74:10** ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ.	10. Iar eu mă voi veseli în veac, cânta-voi Dumnezeului lui Iacov.

Ψλ74:10 καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.	*10. şi toate coarnele păcătoşilor voi zdrobi, şi se va înălţa coarnele Dreptului.*	Ψλ74:11 Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν **συνθλάσω**, καὶ ὑψωθήσεται **τὸ κέρας** τοῦ δικαίου.	11. Şi toate coarnele păcătoşilor voi zdrobi şi se va înălţa cornul dreptului.
ΨΑΛΜΟΣ ΟΕ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Ασαφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον.	*PSALMUL 75* *Întru sfârşit, întru laude; psalm lui Asaf, cântare către Asirianul.*	ΨΑΛΜΟΣ ΟΕ΄. Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον.	*PSALMUL 75* *Întru sfârşit, întru laude; psalm lui Asaf, cântare către Asirianul.*
Ψλ75:1 Γνωστὸς ἐν τῇ Ιουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.	*1. Cunoscut este în Iudeea Dumnezeu, în Israel mare este numele Lui.*	Ψλ75:1 Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.	1. Cunoscut este în Iudeea Dumnezeu, în Israel mare este numele Lui.
Ψλ75:2 καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιων·	*2. Şi s-a făcut în pace locul Lui, şi locaşul Lui în Sion;*	Ψλ75:2 Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.	2. Şi s-a făcut în pace locul Lui, şi locaşul Lui în Sion.
Ψλ75:3 ἐκεῖ συνέτριψεν τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.	*3. acolo au zdrobit tăriile arcelor, arma şi sabia şi războiul.*	Ψλ75:3 Ἐκεῖ **συνέτριψε** τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.	3. Acolo au zdrobit tăriile arcelor, arma şi sabia şi războiul.
Ψλ75:4 φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.	*4. Luminezi Tu minunat din munţii cei veşnici.*	Ψλ75:4 Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων· ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.	4. Luminezi Tu minunat din munţii cei veşnici; tulburatu-s-au toţi cei nepricepuţi la inimă.
Ψλ75:5 ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ, ὕπνωσαν ὕπνον αὐτῶν καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.	*5. Tulburatu-s-au toţi cei nepricepuţi la inimă, adormit-au cu somnul lor şi n-au aflat nimic toţi bărbaţii bogăţiei în mâinile lor.*	Ψλ75:5 Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.	5. Adormit-au cu somnul lor, şi n-au aflat nimic toţi bărbaţii bogăției, în mâinile lor.
Ψλ75:6 ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακὼβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοὺς ἵππους.	*6. De certarea Ta, Dumnezeul lui Iacov, adormit-au cei ce încălecaseră pe cai.*	Ψλ75:6 Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες **τοῖς ἵπποις**.	6. De certarea Ta, Dumnezeul lui Iacov, adormit-au cei ce încălecaseră pe cai.
Ψλ75:7 σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου.	*7. Tu înfricoşat eşti, şi cine va sta împotrivă ţie? De atunci este mânia Ta.*	Ψλ75:7 Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι, ἀπὸ τότε ἡ ὀργή σου;	7. Tu înfricoşător eşti, şi cine va sta împotrivă Ţie, de atunci este mânia Ta?
Ψλ75:8 ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, γῆ ἐφοβήθη καὶ ἡσύχασεν	*8. Din cer auzită ai făcut judecată, pământul s-a temut şi s-a liniştit*	Ψλ75:8 Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν· γῆ ἐφοβήθη καὶ ἡσύχασεν, ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.	8. Din cer ai făcut auzită judecată; pământul s-a temut şi s-a liniştit, când se va scula la judecată Dumnezeu, ca să mântuiască pe toţi blânzii pământului.
Ψλ75:9 ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.	*9. când se va scula la judecată Dumnezeu, ca să mântuiască pe toţi blânzii pământului.*		

Ψλ75:10 ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.	*10. Că gândirea omului se va mărturisi Ţie, şi rămăşiţa gândului va prăznui Ţie.*	**Ψλ75:9** Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.	9. Că gândirea omului se va mărturisi Ţie şi rămăşiţa gândului va prăznui Ţie.
Ψλ75:11 εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν· πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσιν δῶρα	*11. Rugaţi-vă şi răsplătiţi Domnului Dumnezeului nostru; toţi cei dimprejurul Lui vor aduce daruri*	**Ψλ75:10** Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν· πάντες οἱ κύκλῳ αὐτοῦ **οἴσουσι** δῶρα,	10. Rugaţi-vă şi răsplătiţi Domnului Dumnezeului nostru; toţi cei dimprejurul Lui vor aduce daruri,
Ψλ75:12 τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.	*12. Celui înfricoşător şi Celui ce ia duhurile boierilor, Celui înfricoşător mai vârtos (mult) decât toţi împăraţii pământului.*	**Ψλ75:11** τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.	11. Celui înfricoşător şi Celui ce ia duhurile boierilor, Celui înfricoşător mai mult decât împăraţii pământului.
ΨΑΛΜΟΣ ΟΣΤ΄. Εἰς τὸ τέλος, ὑπὲρ Ιδιθουν· τῷ Ασαφ ψαλμός.	*PSALMUL 76* *Întru sfârşit, pentru Idithum; al lui Asaf psalm.*	ΨΑΛΜΟΣ ΟΣΤ΄. Εἰς τὸ τέλος, ὑπὲρ **Ἰδιθούμ**· ψαλμὸς τῷ Ἀσάφ.	*PSALMUL 76* *Întru sfârşit, pentru Idithum; psalm al lui Asaf.*
Ψλ76:1 Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχεν μοι.	*1. Cu glasul meu către Domnul am strigat, glasul meu către Dumnezeu, şi a căutat spre mine.*	**Ψλ76:1** Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ **προσέσχε** μοι.	1. Cu glasul meu către Domnul am strigat, cu glasul meu către Dumnezeu, şi a căutat spre mine.
Ψλ76:2 ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, ταῖς χερσίν μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην· ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου.	*2. În ziua necazului meu pe Dumnezeu am căutat, cu mâinile mele noapte înaintea Lui şi nu m-am amăgit; lepădatu-s-a a se mângâia sufletul meu.*	**Ψλ76:2** Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, ταῖς **χερσί** μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην. **Ψλ76:3** Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου·	2. În ziua necazului meu pe Dumnezeu am căutat, cu mâinile mele noaptea înaintea Lui, şi nu m-am amăgit. 3. Lepădatu-s-a a se mângâia sufletul meu;
Ψλ76:3 ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην· ἠδολέσχησα, καὶ ὠλιγοψύχησεν τὸ πνεῦμά μου.	*3. Adusu-mi-am aminte de Dumnezeu şi m-am veselit; cugetat-am, şi s-a împuţinat cu sufletul duhul meu.*	ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην· ἠδολέσχησα, καὶ **ὠλιγοψύχησε** τὸ πνεῦμά μου.	adusu-mi-am aminte de Dumnezeul şi m-am veselit; îndeletnicitu-m-am, şi s-a împuţinat cu sufletul duhul meu.
Ψλ76:4 προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα.	*4. Apucat-au înainte streji ochii mei, tulburatu-m-am şi n-am grăit.*	**Ψλ76:4** Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα.	4. Apucat-au înaintea străjii ochii mei, tulburatu-m-am şi n-am grăit.
Ψλ76:5 διελογισάμην ἡμέρας ἀρχαίας καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα·	*5. Gândit-am la zilele cele de demult şi de anii cei veşnici mi-am adus aminte şi am cugetat;*	**Ψλ76:5** Διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα.	5. Gândit-am la zilele cele de demult şi de anii cei veşnici mi-am adus aminte şi am cugetat.
Ψλ76:6 νυκτὸς μετὰ τῆς	*6. noaptea cu inima mea*	**Ψλ76:6** Νυκτὸς μετὰ	6. Noaptea cu inima

καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλεν τὸ πνεῦμά μου.	*cugetam, şi scurma (cerceta) duhul meu.*	τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλεν τὸ πνεῦμά μου.	mea gândeam şi duhul meu cerceta.
Ψλ76:7 μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;	*7. Au nu doară în veci va lepăda Domnul şi nu va adăuga a binevoi încă?*	**Ψλ76:7** Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;	7. Au doară în veci va lepăda Domnul şi nu va adăuga a binevoi încă?
Ψλ76:8 ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει ἀπὸ γενεᾶς εἰς γενεάν;	*8. Oare până în sfârşit mila sa o va tăia din neam în neam?*	**Ψλ76:8** Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; **συνετέλεσε ῥῆμα** ἀπὸ γενεᾶς εἰς γενεάν;	8. Oare până în sfârşit mila Sa o va tăia? Sfârşit-a graiul din neam în neam?
Ψλ76:9 ἢ ἐπιλήσεται τοῦ οἰκτιρῆσαι ὁ Θεὸς ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;	*9. Oare va uita a se milostivi Dumnezeu, sau va ţine întru mânia Sa îndurările Sale?*	**Ψλ76:9** **Μὴ** ἐπιλήσεται τοῦ οἰκτιρῆσαι ὁ Θεὸς; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;	9. Au doară va uita să Se milostivească Dumnezeu sau va ţine întru mânia Sa îndurările Sale?
Ψλ76:10 καὶ εἶπα Νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.	*10. Şi am zis: Acum am început, aceasta este schimbarea dreptei Celui Preaînalt.*	**Ψλ76:10** Καὶ εἶπα· Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.	10. Şi am zis: Acum am început; aceasta este schimbarea dreptei Celui Preaînalt.
Ψλ76:11 ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου	*11. Adusu-mi-am aminte de lucrurile Domnului, că-mi voi aduce aminte de începutul minunilor Tale*	**Ψλ76:11** Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.	11. Adusu-mi-am aminte de lucrurile Domnului, că-mi voi aduce aminte de începutul minunilor Tale.
Ψλ76:12 καὶ μελετήσω ἐν πᾶσιν τοῖς ἔργοις σου καὶ ἐν τοῖς ἐπιτηδεύμασίν σου ἀδολεσχήσω.	*12. şi voi cugeta întru toate lucrurile Tale şi întru iscusirile Tale mă voi îndeletnici.*	**Ψλ76:12** Καὶ μελετήσω ἐν **πᾶσι** τοῖς ἔργοις σου, καὶ ἐν τοῖς **ἐπιτηδεύμασί** σου ἀδολεσχήσω.	12. Şi voi cugeta întru toate lucrurile Tale şi întru iscusirile Tale mă voi îndeletnici.
Ψλ76:13 ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;	*13. Dumnezeule, întru cel sfânt este calea Ta; cine este Dumnezeu mare ca Dumnezeul nostru?*	**Ψλ76:13** Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια.	13. Dumnezeule, întru cel sfânt calea Ta; cine este Dumnezeu mare ca Dumnezeul nostru? Tu eşti Dumnezeu, Care faci minuni!
Ψλ76:14 σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια, ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου·	*14. Tu eşti Dumnezeu, carele faci minuni, cunoscută ai făcut întru popoare puterea Ta;*	**Ψλ76:14** Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου· ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.	14. Cunoscută ai făcut întru popoare puterea Ta; izbăvit-ai cu braţul Tău pe poporul Tău, pe fiii lui Iacov şi ai lui Iosif.
Ψλ76:15 ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ιωσηφ.	*15. izbăvit-ai cu braţul Tău pe poporul Tău, pe fiii lui Iacov şi Iosif.*		
Ψλ76:16 εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν, **καὶ**	*16. Văzutu-Te-au apele Dumnezeule, văzutu-Te-au apele şi s-au spăimântat, şi tulburatu-*	**Ψλ76:15** Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν,	15. Văzutu-Te-au apele, Dumnezeule, văzutu-Te-au apele şi s-au spăimântat, tulburatu-s-

ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων.	*s-au adâncurile, mulţimea sunetului apelor.*	ἐταράχθησαν ἄβυσσοι. **Ψλ76:16** Πλῆθος ἤχους ὑδάτων· φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται.	au adâncurile. 16. Mulţimea sunetului apelor; glas au dat nourii, şi că săgeţile Tale trec.
Ψλ76:17 φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται·	*17. Glas au dat norii, şi că săgeţile Tale trec;*		
Ψλ76:18 φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.	*18. glasul tunetului Tău în roată, luminat-au fulgerele Tale lumea, clătitu-s-a şi s-a cutremurat pământul.*	**Ψλ76:17** Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.	17. Glasul tunetului Tău în roată, luminat-au fulgerele Tale lumea, clătinatu-s-a şi s-a cutremurat pământul.
Ψλ76:19 ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.	*19. În mare căile Tale, şi cărările Tale în ape multe, şi urmele Tale nu se vor cunoaşte.*	**Ψλ76:18** Ἐν τῇ θαλάσσῃ **αἱ ὁδοί** σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.	18. În mare căile Tale, şi cărările Tale în ape multe şi urmele Tale nu se vor cunoaşte.
Ψλ76:20 ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωυσῆ καὶ Ααρων.	*20. Povăţuit-ai ca pe o oaie pe poporul Tău, cu mâna lui Moise şi a lui Aaron.*	**Ψλ76:19** Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών. Δόξα...	19. Povăţuit-ai ca pe o oaie pe poporul Tău, cu mâna lui Moise şi a lui Aaron. Slavă…
ΨΑΛΜΟΣ ΟΖ΄. Συνέσεως τῷ Ασαφ.	*PSALMUL 77* *De pricepere, lui Asaf.*	ΚΑΘΙΣΜΑ ΕΝΔΕΚΑΤΟΝ ΨΑΛΜΟΣ ΟΖ΄. Συνέσεως τῷ Ἀσάφ.	Catisma a unsprezecea *PSALMUL 77* *De pricepere, lui Asaf.*
Ψλ77:1 Προσέχετε, λαός μου, τὸν νόμον μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου·	*1. Luaţi aminte poporul Meu la legea Mea, plecaţi urechea voastră spre graiurile gurii Mele;*	**Ψλ77:1** Προσέχετε, λαός μου, τῷ νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.	1. Ia aminte, poporul Meu, la legea Mea, plecaţi urechea voastră spre graiurile gurii Mele.
Ψλ77:2 ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ’ ἀρχῆς.	*2. deschide-voi în pilde gura Mea, spune-voi vorbele cele din început.*	**Ψλ77:2** Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ’ ἀρχῆς.	2. Deschide-voi în pilde gura Mea; spune-voi vorbele cele din început,
Ψλ77:3 ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτὰ καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν,	*3. Câte am auzit şi le-am cunoscut pe ele, şi părinţii noştri ne-au povestit nouă,*	**Ψλ77:3** Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.	3. Câte am auzit şi le-am cunoscut şi părinţii noştri ne-au povestit nouă.
Ψλ77:4 οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ,	*4. nu s-au ascuns de la fiii lor, întru alt neam, vestind laudele Domnului şi puterile Lui şi minunile Lui, care a făcut.*	**Ψλ77:4** Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. **Ψλ77:5** Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ καὶ τὰ	4. Nu s-au ascuns de la fiii lor, întru alt neam. 5. Vestind laudele Domnului şi puterile Lui şi minunile Lui pe care le-a făcut.

ἃ ἐποίησεν.		θαυμάσια αὐτοῦ, ἃ ἐποίησεν.	
Ψλ77:5 καὶ ἀνέστησεν μαρτύριον ἐν Ἰακὼβ καὶ νόμον ἔθετο ἐν Ἰσραήλ, ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν,	*5. Şi a ridicat mărturie întru Iacov şi lege a pus întru Israel, câte a poruncit părinţilor noştri, ca să le arate pe ele fiilor lor,*	**Ψλ77:6** Καὶ ἀνέστησεν μαρτύριον ἐν Ἰακώβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ, **Ψλ77:7** ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν.	6. Şi a ridicat mărturie întru Iacov şi lege a pus în Israel. 7. Câte a poruncit părinţilor noştri, ca să le facă cunoscute pe ele fiilor lor.
Ψλ77:6 ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν,	*6. Ca să cunoască alt neam, fiii cei ce se vor naşte, şi se vor scula, şi le vor spune acestea fiilor lor,*	**Ψλ77:8** Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι, καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.	8. Ca să cunoască alt neam, fiii care se vor naşte şi se vor ridica, şi le vor spune fiilor lor.
Ψλ77:7 ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσουσιν,	*7. ca să pună întru Dumnezeu nădejdea lor, şi să nu uite lucrurile lui Dumnezeu, şi poruncile Lui să le caute,*	**Ψλ77:9** Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ **ἐκζητήσωσιν**.	9. Ca să pună întru Dumnezeu nădejdea lor şi să nu uite lucrurile lui Dumnezeu, şi poruncile Lui să le caute.
Ψλ77:8 ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν γενεὰ σκολιὰ καὶ παραπικραίνουσα, γενεά, ἥτις οὐ κατηύθυνεν τὴν καρδίαν αὐτῆς καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.	*8. ca să nu fie ca părinţii lor, neam îndărătnic şi amărâtor, neam care nu şi-a îndreptat inima sa şi nu şi-a încredinţat lui Dumnezeu duhul său.*	**Ψλ77:10** Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα· **Ψλ77:11** γενεά, ἥτις οὐ **κατεύθυνε** τὴν καρδίαν αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.	10. Ca să nu fie ca părinţii lor, neam îndărătnic şi amărâtor; 11. neam care nu s-a îndreptat în inima sa şi nu şi-a încredinţat lui Dumnezeu duhul său.
Ψλ77:9 υἱοὶ Εφραιμ ἐντείνοντες καὶ βάλλοντες τόξοις ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.	*9. Fiii lui Efraim încordând şi săgetând cu arcele, întorsu-s-au în ziua de război.*	**Ψλ77:12** Υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.	12. Fiii lui Efraim încordând şi săgetând cu arcele, întorsu-s-au în ziua de război.
Ψλ77:10 οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι	*10. N-au păzit aşezământul lui Dumnezeu, şi în legea Lui n-au voit să umble*	**Ψλ77:13** Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι.	13. N-au păzit aşezământul lui Dumnezeu, şi în legea Lui n-au voit să umble.
Ψλ77:11 καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς,	*11. şi au uitat facerile de bine ale Lui şi minunile Lui, care le-a arătat lor (i-a învăţat pe ei),*	**Ψλ77:14** Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ, καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς,	14. Şi au uitat facerile de bine ale Lui şi minunile Lui, pe care le-a arătat lor,
Ψλ77:12 ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησεν θαυμάσια ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ	*12. înaintea părinţilor lor, Care a făcut minuni în pământul Egiptului, în câmpul Taneos.*	**Ψλ77:15** ἐναντίον τῶν πατέρων αὐτῶν ἃ **ἐποίησε** θαυμάσια, ἐν	15. înainte părinţilor lor, Care a făcut minuni în pământul Egiptului, în

Τάνεως.		γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως.	câmpia Taneos.
Ψλ77:13 διέρρηξεν θάλασσαν καὶ διήγαγεν αὐτούς, ἔστησεν ὕδατα ὡσεὶ ἀσκὸν	*13. Desfăcut-a (Despicata) marea şi i-a trecut pe ei, pus-a apele ca un foale*	**Ψλ77:16** **Διέρρηξε** θάλασσαν καὶ διήγαγεν αὐτούς, **παρέστησεν** ὕδατα ὡσεὶ **ἀσκόν**.	16. Despicat-a marea şi i-a trecut pe ei, pus-a apele lor ca un zid.
Ψλ77:14 καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.	*14. şi i-a povăţuit pe dânşii în nor ziua şi toată noaptea întru lumină de foc.*	**Ψλ77:17** Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.	17. Şi i-a povăţuit pe dânşii în nor ziua, şi toată noaptea întru lumină de foc.
Ψλ77:15 διέρρηξεν πέτραν ἐν ἐρήμῳ καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ	*15. Despicat-a piatra în pustie şi i-a adăpat pe ei ca întru-un adânc mult*	**Ψλ77:18** **Διέρρηξε** πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.	18. Despicat-a piatra în pustie şi i-a adăpat pe ei ca întru adânc mult.
Ψλ77:16 καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.	*16. şi a scos lor apă din piatră şi au pogorât ca râuri ape.*	**Ψλ77:19** Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.	19. Şi a scos apă din piatră, şi a pogorât ca râuri ape.
Ψλ77:17 καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ, παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ	*17. Şi au adăugat încă a greşi (păcătui) Lui, amărât-au pe Cel Preaînalt în loc fără de apă*	**Ψλ77:20** Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ, παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ.	20. Şi au adăugat însă a greşi Lui, amărât-au pe Cel Preaînalt, în loc fără de apă.
Ψλ77:18 καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν	*18. şi au ispitit pe Dumnezeu întru inimile lor a cere bucate sufletelor lor*	**Ψλ77:21** Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.	21. Şi au ispitit pe Dumnezeu în inimile lor, a cere bucate sufletelor lor.
Ψλ77:19 καὶ κατελάλησαν τοῦ θεοῦ καὶ εἶπαν Μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;	*19. şi au grăit împotriva lui Dumnezeu şi au zis: Au doară va putea să gătească Dumnezeu masă în pustie?*	**Ψλ77:22** Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ **εἶπον**· Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;	22. Şi au grăit împotriva lui Dumnezeu, şi au zis: Au doară va putea Dumnezeu să gătească masă în pustie?
Ψλ77:20 ἐπεὶ ἐπάταξεν πέτραν καὶ ἐρρύησαν ὕδατα καὶ χείμαρροι κατεκλύσθησαν, μὴ καὶ ἄρτον δύναται δοῦναι ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;	*20. Pentru că a lovit piatra şi a curs ape, şi pâraiele s-au umplut de apă, au doară şi pâine poate să dea sau să gătească masă poporului Său?*	**Ψλ77:23** Ἐπεὶ ἐπάταξεν πέτραν, καὶ ἐρρύησαν ὕδατα, καὶ χείμαρροι κατεκλύσθησαν, **Ψλ77:24** μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;	23. Pentru că a lovit piatra, şi a curs apă, şi pâraiele s-au umplut de apă, au doară şi pâine va putea să dea, sau să gătească masă poporului Său?
Ψλ77:21 διὰ τοῦτο ἤκουσεν κύριος καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ,	*21. Pentru aceasta a auzit Domnul şi a mai răbdat, şi foc s-a aprins întru Iacov, şi mânia s-a suit peste Israel,*	**Ψλ77:25** Διὰ τοῦτο **ἤκουσε** Κύριος καὶ ἀνεβάλετο, καὶ πῦρ ἀνήφθη ἐν Ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.	25. Pentru aceasta a auzit Domnul şi a mai răbdat, şi foc s-a aprins întru Iacov, şi mânie s-a suit peste Israel.
Ψλ77:22 ὅτι οὐκ	*22. căci n-au crezut*	**Ψλ77:26** Ὅτι οὐκ	26. Căci n-au crezut

ἐπίστευσαν ἐν τῷ Θεῷ οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.	*întru Dumnezeu, nici n-au nădăjduit spre mântuirea Lui.*	ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.	întru Dumnezeu, nici n-au nădăjduit spre mântuirea Lui.
Ψλ77:23 καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν καὶ θύρας οὐρανοῦ ἀνέῳξεν	*23. Şi a poruncit norilor deasupra, şi uşile cerului a deschis*	**Ψλ77:27** Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ **ἀνέῳξε**.	27. Şi a poruncit norilor deasupra, şi uşile cerului a deschis.
Ψλ77:24 καὶ ἔβρεξεν αὐτοῖς μαννα φαγεῖν καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς·	*24. Şi le-a plouat lor mană să mănânce, şi pâine cerească le-a dat lor;*	**Ψλ77:28** Καὶ ἔβρεξεν αὐτοῖς μαννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.	28. Şi le-a plouat lor mană ca să mănânce, şi pâine cerească le-a dat lor.
Ψλ77:25 ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.	*25. Pâine îngerească a mâncat omul, bucate le-a trimis lor din destul.*	**Ψλ77:29** Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.	29. Pâine îngerească a mâncat omul; bucate le-a trimis lor din destul.
Ψλ77:26 ἀπῆρεν νότον ἐξ οὐρανοῦ καὶ ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα	*26. Ridicat-au austrul din cer, şi a adus întru puterea Sa vântul Libiei*	**Ψλ77:30** **Ἀπῆρε** νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα.	30. Ridicat-a austrul din cer, şi a adus întru puterea Sa vântul Libiei.
Ψλ77:27 καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά,	*27. şi a plouat peste dânşii ca pulberea cărnuri şi ca nisipul mării pasări zburătoare,*	**Ψλ77:31** Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.	31. Şi a plouat peste dânşii ca pulberea cărnuri şi ca nisipul mării păsări zburătoare.
Ψλ77:28 καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν κύκλῳ τῶν σκηνωμάτων αὐτῶν,	*28. şi au căzut în mijlocul taberei lor, împrejurul locaşurilor lor,*	**Ψλ77:32** Καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.	32. Şi au căzut în mijlocul taberei lor, împrejurul locaşurilor lor.
Ψλ77:29 καὶ ἐφάγοσαν καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς,	*29. şi au mâncat şi s-au săturat foarte, şi pofta lor le-a plinit lor,*	**Ψλ77:33** Καὶ **ἔφαγον** καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς· οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.	33. Şi au mâncat şi s-au săturat foarte, şi pofta lor le-a plinit lor; nu s-au lipsit de pofta lor.
Ψλ77:30 οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. ἔτι τῆς βρώσεως **αὐτῶν** οὔσης ἐν τῷ στόματι αὐτῶν	*30. nu s-au lipsit de pofta lor. Încă mâncarea lor fiind în gura lor*	**Ψλ77:34** Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς.	34. Încă mâncarea fiind în gura lor, şi mânia lui Dumnezeu s-a suit peste dânşii
Ψλ77:31 καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτοὺς καὶ ἀπέκτεινεν ἐν τοῖς πίοσιν αὐτῶν καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραήλ συνεπόδισεν.	*31. şi mânia lui Dumnezeu s-a suit peste dânşii şi a ucis pe cei mai mulţi ai lor şi pe cei aleşi ai lui Israel i-a împiedicat.*	**Ψλ77:35** Καὶ ἀπέκτεινεν ἐν τοῖς **πλείοσιν** αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.	35. Şi a ucis întru mai mulţi ai lor, şi pe cei aleşi ai lui Israel i-a împiedicat.
Ψλ77:32 ἐν πᾶσιν τούτοις ἥμαρτον ἔτι καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς	*32. Întru toate acestea au mai greşit încă şi n-au crezut întru minunile*	**Ψλ77:36** Ἐν **πᾶσι** τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς	36. Întru toate acestea au mai greşit încă, şi n-au crezut întru minunile

θαυμασίοις αὐτοῦ,	*Lui,*	θαυμασίοις αὐτοῦ.	Lui.
Ψλ77:33 καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.	*33. şi s-au stins întru deşertăciuni zilele lor şi anii lor (cu) degrab.*	**Ψλ77:37** Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.	37. Şi s-au stins întru deşertăciuni zilele lor, şi anii lor degrab.
Ψλ77:34 ὅταν ἀπέκτεννεν αὐτούς, ἐξεζήτουν αὐτὸν καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεὸν	*34. Când îi ucideau pe dânşii, atunci Îl căutau pe El şi se întorceau şi mânecau la Dumnezeu*	**Ψλ77:38** Ὅταν **ἀπέκτειννεν** αὐτούς, **τότε** ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεὸν.	38. Când îi ucideau pe dânşii, atunci Îl căutau pe El, şi se întorceau şi mânecau la Dumnezeu.
Ψλ77:35 καὶ ἐμνήσθησαν ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστιν καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστιν.	*35. şi şi-au adus aminte că Dumnezeu ajutorul lor este şi Dumnezeul Cel Preaînalt Izbăvitorul lor este.*	**Ψλ77:39** Καὶ ἐμνήσθησαν ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν **ἐστι**, καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν **ἐστι**.	39. Şi şi-au adus aminte că Dumnezeu este ajutorul lor şi Dumnezeul Cel Preaînalt este Izbăvitorul lor.
Ψλ77:36 καὶ ἠπάτησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ,	*36. Şi L-au respectat pe Dânsul în gura lor şi cu limba lor au minţit Lui,*	**Ψλ77:40** Καὶ **ἠγάπησαν** αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.	40. Şi L-au iubit pe Dânsul în gura lor şi cu limba lor au minţit Lui.
Ψλ77:37 ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.	*37. Şi inima lor nu era dreaptă cu Dânsul, nici s-au încredinţat întru aşezământul de lege al Lui.*	**Ψλ77:41** Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.	41. Şi inima lor nu era dreaptă cu Dânsul, nici nu s-au încredinţat întru aşezământul de lege (Testamentul) al Lui.
Ψλ77:38 αὐτὸς δέ ἐστιν οἰκτίρμων καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν καὶ οὐ διαφθερεῖ καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ·	*38. Iar El este îndurat şi curăţeşte păcatele lor şi nu va strica şi va înmulţi a întoarce mânia Sa şi nu va aprinde toată urgia Sa;*	**Ψλ77:42** Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ **ἱλάσκεται** ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ.	42. Iar El este îndurat şi curăţeşte păcatele lor şi nu va strica.
		Ψλ77:43 Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.	43. Şi va înmulţi a întoarce mânia Sa şi nu va aprinde toată urgia Sa.
Ψλ77:39 καὶ ἐμνήσθη ὅτι σάρξ εἰσιν, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.	*39. şi Şi-a adus aminte că trup sunt, duh ce trece şi nu se întoarce.*	**Ψλ77:44** Καὶ ἐμνήσθη ὅτι σάρξ **εἰσι**, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.	44. Şi Şi-a adus aminte că trup sunt, duh ce trece şi nu se întoarce.
Ψλ77:40 ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;	*40. De câte ori L-au amărât pe Dânsul în pustie, mâniatu-L-au pe Dânsul în pământ fără de apă?*	**Ψλ77:45** Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;	45. De câte ori L-au amărât pe El în pustie şi L-au mâniat pe Dânsul în pământ fără de apă?
Ψλ77:41 καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεὸν καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.	*41. Şi s-au întors şi au ispitit pe Dumnezeu, şi pe Cel Sfânt al lui Israel L-au întărâtat.*	**Ψλ77:46** Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεὸν, καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.	46. Şi s-au întors şi au ispitit pe Dumnezeu, şi pe Cel Sfânt al lui Israel L-au întărâtat.

Ψλ77:42 οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος,	*42. Nu şi-au adus aminte de mâna Lui, ziua, în care i-a izbăvit pe ei din mâna celui ce-i necăjea,*	**Ψλ77:47** **Καὶ** οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος,	47. Şi nu şi-au adus aminte de mâna Lui în ziua în care i-a izbăvit pe ei din mâna celui ce-i necăjea,
Ψλ77:43 ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως·	*43. Cum a pus în Egipt semnele Sale şi minunile Sale în câmpul Taneos;*	**Ψλ77:48** ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.	48. Cum a pus în Egipt semnele Sale şi minunile Sale în câmpia Taneos.
Ψλ77:44 καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν·	*44. şi a întors în sânge râurile lor şi fântânile lor, ca să nu bea;*	**Ψλ77:49** Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.	49. Şi a întors în sânge râurile lor şi fântânile lor, ca să nu bea.
Ψλ77:45 ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς·	*45. trimis-a asupra lor muscă câinească, şi i-a mâncat pe ei, şi broaşte, şi i-a stricat pe dânşii;*	**Ψλ77:50** Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς, καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς.	50. Trimis-a asupra lor muscă câinească şi i-a mâncat pe ei, şi broaşte, şi i-a stricat pe dânşii.
Ψλ77:46 καὶ ἔδωκεν τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι·	*46. şi a dat păliciunii rodurile lor şi ostenelile lor lăcustelor;*	**Ψλ77:51** Καὶ **ἔδωκε** τῇ ἐρυσίβῃ **τοὺς καρποὺς** αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι.	51. Şi a dat păliciunii roadele lor, şi ostenelile lor lăcustelor.
Ψλ77:47 ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ·	*47. Bătut-au cu grindină viile lor şi duzii lor cu brumă;*	**Ψλ77:52** ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.	52. Bătut-a cu grindină viile lor şi duzii lor cu brumă.
Ψλ77:48 καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί·	*48. şi a dat la grindină dobitoacele lor şi averea lor focului;*	**Ψλ77:53** Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.	53. Şi a dat grindinei dobitoacele lor şi averea lor focului.
Ψλ77:49 ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν·	*49. trimis-a asupra lor urgia mâniei Sale, mânie şi urgie şi necaz, trimitere prin îngeri răi;*	**Ψλ77:54** Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.	54. Trimis-a asupra lor mânia urgiei Sale, mânie şi urgie şi necaz, trimitere prin îngeri răi.
Ψλ77:50 ὡδοποίησεν τρίβον τῇ ὀργῇ αὐτοῦ, οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισεν	*50. cale a făcut cărării urgiei Sale, nu au cruţat de moarte sufletele lor şi dobitoacele lor spre moarte le-a închis*	**Ψλ77:55** **Ὡδοποίησε** τρίβον τῇ ὀργῇ αὐτοῦ, **καὶ** οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.	55. Cale făcând cărării urgiei Sale, şi nu a cruţat de moarte sufletele lor şi dobitoacele lor spre moarte le-a închis.
Ψλ77:51 καὶ ἐπάταξεν πᾶν πρωτότοκον ἐν Αἰγύπτῳ, ἀπαρχὴν τῶν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χαμ.	*51. şi a bătut pe tot cel întâi-născut în pământul Egiptului, începătura a toată osteneala lor în locaşurile lui Ham.*	**Ψλ77:56** Καὶ **ἐπάταξε** πᾶν πρωτότοκον ἐν Αἰγύπτῳ, ἀπαρχὴν τῶν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.	56. Şi a bătut pe tot cel întâi-născut în pământul Egiptului, pârga a toată osteneala lor în locaşurile lui Ham.
Ψλ77:52 καὶ ἀπῆρεν ὡς	*52. Şi a* ***ridicat*** *ca pe*	**Ψλ77:57** Καὶ ἀπῆρεν ὡς	57. Şi a scos ca pe nişte

πρόβατα τὸν λαὸν αὐτοῦ καὶ ἀνήγαγεν αὐτοὺς ὡς ποίμνιον ἐν ἐρήμῳ	*nişte oi pe poporul Său, şi i-a* ***dus*** *pe ei ca pe o turmă în pustie*	πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ἀνήγαγεν αὐτοὺς **ὡσεὶ** ποίμνιον ἐν ἐρήμῳ.	oi pe poporul Său şi i-a pus pe ei ca pe o turmă în pustie.
Ψλ77:53 καὶ ὡδήγησεν αὐτοὺς ἐν ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψεν θάλασσα.	*53. şi i-a povăţuit spre nădejde şi nu s-au înfricoşat, şi pe vrăjmaşii lor i-a acoperit marea.*	**Ψλ77:58** Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν, καὶ τοὺς ἐχθροὺς αὐτῶν **ἐκάλυψε** θάλασσα.	58. Şi i-a povăţuit spre nădejde şi nu s-au înfricoşat, şi pe vrăjmaşii lor i-a acoperit marea.
Ψλ77:54 καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὅριον ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ,	*54. Şi i-a băgat pe dânşii în muntele sfinţeniei Sale, muntele acesta, pe care l-a câştigat dreapta Lui,*	**Ψλ77:59** Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.	59. Şi i-a băgat pe dânşii în muntele sfinţeniei Sale, în muntele acesta pe care l-a câştigat dreapta Lui.
Ψλ77:55 καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.	*55. şi a gonit de la faţa lor neamuri şi le-a dat moştenire cu împărţire prin sorţi şi a aşezat întru locaşurile lor pe seminţiile lui Israel.*	**Ψλ77:60** Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας. **Ψλ77:61** Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.	60. Şi a gonit de la faţa lor neamuri şi le-a dat cu sorţi pământul lor moştenire, cu funii de împărţire. 61. Şi a aşezat întru locaşurile lor seminţiile lui Israel.
Ψλ77:56 καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο	*56. Şi au ispitit şi au amărât pe Dumnezeul Cel Preaînalt şi mărturiile Lui nu le-au păzit*	**Ψλ77:62** Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.	62. Şi au ispitit şi au amărât pe Dumnezeul Cel Preaînalt şi mărturiile Lui nu le-au păzit.
Ψλ77:57 καὶ ἀπέστρεψαν καὶ ἠσυνθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν καὶ μετεστράφησαν εἰς τόξον στρεβλὸν	*57. şi s-au întors şi s-au lepădat ca şi părinţii lor, întorsu-s-au întru arc strâmb*	**Ψλ77:63** Καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν, καὶ μετεστράφησαν εἰς τόξον στρεβλόν.	63. Şi s-au întors şi s-au lepădat, ca şi părinţii lor, întorsu-s-au întru arc strâmb.
Ψλ77:58 καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.	*58. Şi L-au mâniat pe Dânsul în dealurile lor, şi întru cele cioplite ale lor L-au întărâtat pe Dânsul.*	**Ψλ77:64** Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.	64. Şi L-au mâniat pe Dânsul întru dealurile lor, şi întru cele cioplite ale lor L-au întărâtat pe Dânsul.
Ψλ77:59 ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδεν καὶ ἐξουδένωσεν σφόδρα τὸν Ἰσραήλ	*59. Auzit-a Dumnezeu şi a trecut cu vederea şi a urgisit (defăimat) foarte pe Israel*	**Ψλ77:65** Ἤκουσεν ὁ Θεὸς καὶ **ὑπερεῖδε**, καὶ **ἐξουδένωσε** σφόδρα τὸν Ἰσραήλ.	65. Auzit-a Dumnezeu şi a trecut cu vederea şi a defăimat foarte pe Israel.
Ψλ77:60 καὶ ἀπώσατο τὴν σκηνὴν Σηλωμ, σκήνωμα **αὐτοῦ**, οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις.	*60. şi a lepădat cortul Silomului, locaşul în care a locuit întru oameni.*	**Ψλ77:66** Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ, σκήνωμα, **ὃ** κατεσκήνωσεν ἐν ἀνθρώποις.	66. Şi a lepădat cortul Silomului, locaşul în care a locuit întru oameni.
Ψλ77:61 καὶ παρέδωκεν	*61. Şi a dat în robie,*	**Ψλ77:67** Καὶ	67. Şi a dat în robie tăria

εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθροῦ	*tăria lor şi frumuseţea lor în mâinile vrăjmaşilor*	παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας **ἐχθρῶν**.	lor şi frumuseţea lor în mâinile vrăjmaşilor.
Ψλ77:62 καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν.	*62. şi a închis în sabie pe poporul Său şi moştenirea Sa o a trecut cu vederea.*	**Ψλ77:68** Καὶ συνέκλεισεν εἰς ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ **ὑπερεῖδε**.	68. Şi a închis în sabie pe poporul Său şi moştenirea Sa o a trecut cu vederea.
Ψλ77:63 τοὺς νεανίσκους αὐτῶν κατέφαγεν πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν·	*63. Pe tinerii lor i-a mâncat focul şi fecioarele lor nu s-au jelit;*	**Ψλ77:69** Τοὺς νεανίσκους αὐτῶν **κατέφαγε** πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν.	69. Pe tinerii lor i-a mâncat focul şi fecioarele lor nu s-au jelit.
Ψλ77:64 οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.	*64. preoţii lor în sabie au căzut şi văduvele lor nu vor plânge.*	**Ψλ77:70** Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν, καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.	70. Preoţii lor în sabie au căzut şi văduvele lor nu vor plânge.
Ψλ77:65 καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου,	*65. Şi s-a deşteptat ca cel ce doarme, Domnul, ca un tare şi ameţit de vin,*	**Ψλ77:71** Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου.	71. Şi s-a deşteptat Domnul ca cel ce doarme, ca un tare şi ameţit de vin.
Ψλ77:66 καὶ ἐπάταξεν τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.	*66. şi a lovit pe vrăjmaşii Săi la cele dinapoi, ocară veşnică le-au dat lor.*	**Ψλ77:72** Καὶ **ἐπάταξε** τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.	72. Şi a lovit pe vrăjmaşii Săi la cele dinapoi, ocară veşnică le-a dat lor.
Ψλ77:67 καὶ ἀπώσατο τὸ σκήνωμα Ιωσηφ καὶ τὴν φυλὴν Εφραιμ οὐκ ἐξελέξατο·	*67. Şi a lepădat locaşul lui Iosif şi seminţia lui Efraim n-a ales;*	**Ψλ77:73** Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ, καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο.	73. Şi a lepădat locaşul lui Iosif şi seminţia lui Efraim n-a ales.
Ψλ77:68 καὶ ἐξελέξατο τὴν φυλὴν Ιουδα, τὸ ὄρος τὸ Σιων, ὃ ἠγάπησεν,	*68. şi a ales seminţia lui Iuda, muntele Sionului, pe care l-a iubit,*	**Ψλ77:74** Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, τὸ ὄρος τὸ Σιών, ὃ **ἠγάπησε**.	74. Şi a ales seminţia lui Iuda, muntele Sionului, pe care l-a iubit.
Ψλ77:69 καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ, ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.	*69. şi a zidit ca a inorogului sfinţenia Sa, pe pământ a întemeiat-o pe dânsa în veac.*	**Ψλ77:75** Καὶ ᾠκοδόμησεν ὡς **μονοκέρωτος** τὸ ἁγίασμα αὐτοῦ, ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.	75. Şi a zidit ca a inorogului sfinţenia Sa, pe pământ a întemeiat-o pe dânsa în veac.
Ψλ77:70 καὶ ἐξελέξατο Δαυῒδ τὸν δοῦλον αὐτοῦ καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων,	*70. Şi a ales pe David robul Lui şi l-a luat pe el de la turmele oilor,*	**Ψλ77:76** Καὶ ἐξελέξατο Δαυῒδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων.	76. Şi a ales pe David robul Lui şi l-a luat de la turmele oilor.
Ψλ77:71 ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν	*71. de la cele fătătoare l-a luat pe dânsul ca să*	**Ψλ77:77** Ἐξόπισθεν τῶν λοχευομένων	77. De la cele fătătoare l-a luat pe dânsul, ca să

αὐτὸν ποιμαίνειν Ἰακὼβ τὸν λαὸν αὐτοῦ καὶ Ἰσραήλ τὴν κληρονομίαν αὐτοῦ,	*păstorească pe Iacov, poporul Lui, şi pe Israel, moştenirea Sa,*	ἔλαβεν αὐτὸν ποιμαίνειν Ἰακὼβ τὸν **δοῦλον** αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.	păstorească pe Iacov, sluga Sa, şi pe Israel, moştenirea Sa.
Ψλ77:72 καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.	*72. şi i-a păstorit pe dânşii întru nerăutatea inimii sale şi întru priceperile mâinilor sale i-a povăţuit pe dânşii.*	**Ψλ77:78** Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. Δόξα...	78. Şi i-a păstorit pe dânşii întru nerăutatea inimii sale şi întru priceperile mâinilor sale i-a povăţuit pe ei. Slavă…
ΨΑΛΜΟΣ ΟΗ΄. Ψαλμὸς τῷ Ασαφ.	*PSALMUL 78* *Psalm lui Asaf.*	ΨΑΛΜΟΣ ΟΗ΄. Ψαλμὸς τῷ Ἀσάφ.	*PSALMUL 78* *Psalm lui Asaf.*
Ψλ78:1 Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ιερουσαλημ εἰς ὀπωροφυλάκιον.	*1. Dumnezeule, venit-au neamurile în moştenirea Ta, spurcat-au sfântă biserica Ta (sfânt templul Tău), pus-au Ierusalimul ca o păzitoare de poame.*	**Ψλ78:1** Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ιερουσαλημ **ὡς** ὀπωροφυλάκιον.	1. Dumnezeule, venit-au neamurile în moştenirea Ta, spurcat-au sfântă biserica Ta, pus-au Ierusalimul ca o păzitoare de poame.
Ψλ78:2 ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς·	*2. Pus-au stârvurile robilor Tăi mâncări păsărilor cerului, trupurile celor cuvioşi ai Tăi fiarelor pământului;*	**Ψλ78:2** Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.	2. Pus-au stârvurile robilor Tăi mâncări păsărilor cerului, trupurile celor cuvioşi ai Tăi fiarelor pământului.
Ψλ78:3 ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ κύκλῳ Ιερουσαλημ, καὶ οὐκ ἦν ὁ θάπτων.	*3. vărsatu-s-a sângele lor ca apa împrejurul Ierusalimului şi nu era cine să-i îngroape.*	**Ψλ78:3** Ἐξέχεαν τὸ αἷμα αὐτῶν **ὡσεὶ** ὕδωρ κύκλῳ Ἰερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων.	3. Vărsatu-s-a sângele lor ca apa împrejurul Ierusalimului şi nu era cine să-i îngroape.
Ψλ78:4 ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.	*4. Făcutu-ne-am ocară vecinilor noştri, batjocură şi râs celor dimprejurul nostru.*	**Ψλ78:4** Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.	4. Făcutu-ne-am ocară vecinilor noştri, batjocură şi râs celor dimprejurul nostru.
Ψλ78:5 ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;	*5. Până când, Doamne, te vei mânia, până în sfârşit, se va aprinde ca focul râvna Ta?*	**Ψλ78:5** Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;	5. Până când, Doamne, Te vei mânia, până în sfârşit, se va aprinde ca focul râvna Ta?
Ψλ78:6 ἔκχεον τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ γινώσκοντά σε καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο,	*6. Varsă mânia Ta peste neamurile care nu Te cunosc şi peste împărăţiile care numele Tău n-au chemat,*	**Ψλ78:6** Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.	6. Varsă mânia Ta peste neamurile care nu Te cunosc şi peste împărăţiile care n-au chemat numele Tău.
Ψλ78:7 ὅτι κατέφαγον τὸν Ἰακὼβ καὶ τὸν	*7. că au mâncat pe Iacov, şi locul lui l-au*	**Ψλ78:7** Ὅτι κατέφαγον τὸν Ἰακώβ, καὶ τὸν	7. Şi au mâncat pe Iacov şi locul lui l-au pustiit.

τόπον αὐτοῦ ἠρήμωσαν.	*pustiit.*	τόπον αὐτοῦ ἠρήμωσαν.	
Ψλ78:8 μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα.	*8. Să nu pomeneşti fărădelegile noastre cele din început; degrab să ne întâmpine pe noi îndurările Tale, că am sărăcit foarte.*	**Ψλ78:8** Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, **Κύριε**, ὅτι ἐπτωχεύσαμεν σφόδρα.	8. Să nu pomeneşti fărădelegile noastre cele din început; degrab să ne întâmpine pe noi îndurările Tale, Doamne, că am sărăcit foarte.
Ψλ78:9 βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν· ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκα τοῦ ὀνόματός σου,	*9. Ajută-ne nouă Dumnezeule, Mântuitorul nostru; pentru slava numelui Tău, Doamne, izbăveşte-ne pe noi şi curăţeşte păcatele noastre pentru numele Tău,*	**Ψλ78:9** Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, **ἕνεκεν** τῆς δόξης τοῦ ὀνόματός σου· Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, **ἕνεκεν** τοῦ ὀνόματός σου.	9. Ajută-ne nouă, Dumnezeule, Mântuitorul nostru, pentru slava numelui Tău; Doamne, izbăveşte-ne pe noi şi curăţeşte păcatele noastre, pentru numele Tău.
Ψλ78:10 μήποτε εἴπωσιν τὰ ἔθνη Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.	*10. ca nu cândva să zică neamurile: Unde este Dumnezeul lor? Şi să se cunoască întru neamuri, înaintea ochilor noştri, izbânda sângelui robilor Tăi cel vărsat.*	**Ψλ78:10** Μήποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; **Ψλ78:11** Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.	10. Ca nu cândva să zică neamurile: „Unde este Dumnezeul lor?” 11. Şi să se cunoască întru neamuri, înaintea ochilor noştri, izbânda sângelui robilor Tăi cel vărsat.
Ψλ78:11 εἰσελθάτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων, κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.	*11. Să intre înaintea Ta suspinul celor ferecaţi, după slava braţului Tău păzeşte pe fiii celor omorâţi.*	**Ψλ78:12** Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων· κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.	12. Să intre înaintea Ta suspinul celor ferecaţi; după mărirea braţului Tău, păzeşte pe fiii celor omorâţi.
Ψλ78:12 ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε.	*12. Răsplăteşte vecinilor noştri de şapte ori în sânul lor ocara lor, cu care te-au ocărât pe Tine, Doamne.*	**Ψλ78:13** Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε.	13. Răsplăteşte vecinilor noştri de şapte ori, în sânul lor, ocara lor cu care Te-au ocărât pe Tine, Doamne.
Ψλ78:13 ἡμεῖς δὲ λαός σου καὶ πρόβατα **τῆς** νομῆς σου ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.	*13. Iar noi, poporul Tău şi oile păşunii Tale mărturisi-ne-vom Ţie, în veac, în neam şi în neam vom vesti lauda Ta.*	**Ψλ78:14** Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου· ἀνθομολογησόμεθά σοι, **ὁ Θεός**, εἰς τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.	14. Iar noi, poporul Tău şi oile păşunii Tale; mărturisi-ne-vom Ţie, Dumnezeule, în veac, în neam şi în neam vom vesti lauda Ta.
ΨΑΛΜΟΣ ΟΘ΄.	*PSALMUL 79*	ΨΑΛΜΟΣ ΟΘ΄.	*PSALMUL 79*

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· μαρτύριον τῷ Ασαφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.	*Întru sfârşit, pentru cei ce se vor schimba; mărturia lui Asaf, psalm pentru Asirianul.*	Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.	*Întru sfârşit, pentru cei ce se vor schimba; mărturia lui Asaf, psalm pentru Asirianul.*
Ψλ79:1 Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ιωσηφ, ὁ καθήμενος ἐπὶ τῶν χερουβιν, ἐμφάνηθι.	*1. Cel ce păstoreşti pe Israel, ia aminte, Cel ce povăţuieşti ca pe o oaie pe Iosif, Cel ce şezi pe Heruvimi, arată-Te.*	**Ψλ79:1** Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ιωσηφ.	1. Cel ce păstoreşti pe Israel, ia aminte, Cel ce povăţuieşti ca pe o oaie pe Iosif.
		Ψλ79:2 Ὁ καθήμενος ἐπὶ τῶν **χερουβίμ**, ἐμφάνηθι ἐναντίον Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῆ.	2. Cel ce şezi pe Heruvimi, arată-Te înaintea lui Efraim şi Veniamin şi Manase.
Ψλ79:2 ἐναντίον Εφραιμ καὶ Βενιαμιν καὶ Μανασση ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.	*2. Înaintea lui Efraim şi Veniamin şi Manasi deşteaptă puterea Ta şi vino ca să ne mântuieşti pe noi.*	**Ψλ79:3** Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.	3. Deşteaptă puterea Ta şi vino ca să ne mântuieşti pe noi.
Ψλ79:3 ὁ Θεός, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.	*3. Dumnezeule, întoarce-ne pe noi, şi arată faţa Ta, şi ne vom mântui.*	**Ψλ79:4** Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.	4. Dumnezeule, întoarce-ne pe noi, şi arată faţa Ta, şi ne vom mântui!
Ψλ79:4 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου,	*4. Doamne, Dumnezeul puterilor, până când Te vei mânia pe ruga robului Tău,*	**Ψλ79:5** Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν **τῶν δούλων** σου;	5. Doamne, Dumnezeul puterilor, până când Te vei mânia pe ruga robilor Tăi?
Ψλ79:5 ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ;	*5. hrăni-ne-vei pe noi cu pâine de lacrămi şi ne vei adăpa cu lacrămi întru măsură?*	**Ψλ79:6** Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ;	6. Hrăni-ne-vei pe noi cu pâine de lacrimi, şi ne vei adăpa cu lacrimi întru măsură?
Ψλ79:6 ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.	*6. Pusu-ne-ai pe noi întru prigonire (împotrivă grăire) vecinilor noştri, şi vrăjmaşii noştri ne-au batjocorit pe noi.*	**Ψλ79:7** Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.	7. Pusu-ne-ai pe noi întru prigonire (împotrivă grăire) vecinilor noştri şi vrăjmaşii noştri ne-au batjocorit pe noi.
Ψλ79:7 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.	*7. Doamne, Dumnezeul puterilor, întoarce-ne pe noi, şi arată faţa Ta, şi ne vom mântui.*	**Ψλ79:8** Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.	8. Doamne, Dumnezeul puterilor, întoarce-ne pe noi, şi arată faţa Ta, şi ne vom mântui.
Ψλ79:8 ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν·	*8. Via din Egipt o ai mutat, gonit-ai neamurile şi o ai răsădit pe ea;*	**Ψλ79:9** Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.	9. Via din Egipt o ai mutat, gonit-ai neamurile şi o ai răsădit pe ea.
Ψλ79:9 ὡδοποίησας ἔμπροσθεν αὐτῆς καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ	*9. cale ai făcut înaintea ei şi ai sădit rădăcinile ei şi a umplut pământul.*	**Ψλ79:10** Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ **ἐπλήρωσε**	10. Cale ai făcut înaintea ei şi ai sădit rădăcinile ei şi a umplut pământul.

γῆ.		**τὴν γῆν**.	
Ψλ79:10 ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ·	*10. Acoperit-a munţii umbra ei, şi mlădiţele ei cedrii lui Dumnezeu;*	**Ψλ79:11** Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.	11. Acoperit-au munţii umbra ei şi mlădiţele ei cedrii lui Dumnezeu.
Ψλ79:11 ἐξέτεινεν τὰ κλήματα αὐτῆς ἕως θαλάσσης καὶ ἕως ποταμοῦ τὰς παραφυάδας αὐτῆς.	*11. întins-a viţele sale până la mare şi până la râu odraslele sale.*	**Ψλ79:12** **Ἐξέτεινε** τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως **ποταμῶν** τὰς παραφυάδας αὐτῆς.	12. Întins-a viţele sale până la mare şi până la râuri odraslele sale.
Ψλ79:12 ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;	*12. Pentru cei ai surpat gardul ei şi o culeg pe ea toţi cei ce trec pe cale?*	**Ψλ79:13** **Ἱνατί** καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;	13. Pentru ce ai surpat gardul ei, şi o culeg pe ea toţi cei ce trec pe cale?
Ψλ79:13 ἐλυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.	*13. O a stricat pe ea vierul din pădure, şi porcul sălbatic o a păscut pe ea.*	**Ψλ79:14** Ἐλυμήνατο αὐτὴν **ὗς** ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.	14. O a stricat pe ea vierul din pădure şi porcul sălbatic o a păscut pe ea.
Ψλ79:14 ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἰδὲ καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην	*14. Dumnezeul puterilor, întoarce-Te dar, şi caută din cer şi vezi şi cercetează via aceasta*	**Ψλ79:15** Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή, **καὶ** ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ **ἴδε**, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην.	15. Dumnezeule al puterilor, întoarce-Te dar şi caută din cer şi vezi, şi cercetează via aceasta.
Ψλ79:15 καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.	*15. şi o săvârşeşte pe ea, pe care a sădit-o dreptatea Ta, şi spre Fiul Omului, pe care L-ai întărit Ţie.*	**Ψλ79:16** Καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.	16. Şi o desăvârşeşte pe ea, pe care a sădit-o dreapta Ta; şi spre Fiul Omului, pe care L-ai întărit Ţie (Tu Însuţi).
Ψλ79:16 ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη· ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.	*16. Arsă fiind cu foc şi săpată afară; de certarea feţei Tale vor pieri.*	**Ψλ79:17** Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη· ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.	17. Arsă cu foc şi smulsă (săpată afară); de certarea feţei Tale vor pieri.
Ψλ79:17 γενηθήτω ἡ χείρ σου ἐπ’ ἄνδρα δεξιᾶς σου καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ·	*17. Să fie mâna Ta peste bărbatul dreptei Tale şi peste Fiul Omului, pe care L-ai întărit Ţie;*	**Ψλ79:18** Γενηθήτω ἡ χείρ σου ἐπ’ ἄνδρα δεξιᾶς σου καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.	18. Să fie mâna Ta peste bărbatul dreptei Tale şi peste Fiul Omului, pe care L-ai întărit Ţie (Tu Însuţi).
Ψλ79:18 καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.	*18. şi nu ne vom depărta de la Tine; via-ne-vei pe noi, şi numele Tău vom chema.*	**Ψλ79:19** Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ· ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.	19. Şi nu ne vom depărta de la Tine; via-ne-vei pe noi şi numele Tău vom chema.
Ψλ79:19 Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς καὶ	*19. Doamne, Dumnezeul puterilor, întoarce-ne pe noi, şi arată faţa Ta, şi*	**Ψλ79:20** Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ	20. Doamne, Dumnezeul puterilor, întoarce-ne pe noi, şi

ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.	*ne vom mântui.*	ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.	arată faţa Ta, şi ne vom mântui.
ΨΑΛΜΟΣ Π΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· τῷ Ασαφ ψαλμός.	*PSALMUL 80* *Întru sfârşit, pentru teascuri (linuri); psalm lui Asaf.*	ΨΑΛΜΟΣ Π΄. Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμός τῷ Ἀσάφ.	*PSALMUL 80* *Întru sfârşit, pentru teascuri (linuri); psalm lui Asaf.*
Ψλ80:1 Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακὼβ·	*1. Bucuraţi-vă lui Dumnezeu ajutătorul nostru, strigaţi Dumnezeului lui Iacov!*	**Ψλ80:1** Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.	1. Bucuraţi-vă lui Dumnezeu, ajutorului nostru; strigaţi Dumnezeului lui Iacov!
Ψλ80:2 λάβετε ψαλμὸν καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας·	*2. Luaţi psalmi şi daţi timpane, psaltire înfrumuseţată (veselitoare) cu alăută!*	**Ψλ80:2** Λάβετε ψαλμὸν καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας.	2. Luaţi psalmi şi daţi din timpane; psaltire veselă cu alăută.
Ψλ80:3 σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν·	*3. Trâmbiţaţi în lună nouă cu trâmbiţă, în ziua cea binevestită a sărbătorii noastre!*	**Ψλ80:3** Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν.	3. Trâmbiţaţi în lună nouă cu trâmbiţă, în ziua cea binevestită a praznicului nostru!
Ψλ80:4 ὅτι πρόσταγμα τῷ Ἰσραήλ ἐστὶν καὶ κρίμα τῷ Θεῷ Ἰακὼβ.	*4. Că porunca lui Israel este şi judecata Dumnezeului lui Iacov.*	**Ψλ80:4** Ὅτι πρόσταγμα τῷ Ἰσραήλ **ἐστι**, καὶ κρίμα τῷ Θεῷ Ἰακώβ.	4. Că porunca lui Israel este şi judecata Dumnezeului lui Iacov.
Ψλ80:5 μαρτύριον ἐν τῷ Ιωσηφ ἔθετο αὐτὸν ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου· γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν·	*5. Mărturie în Iosif a pus lui când a ieşit el din pământul Egiptului; limba pe care n-a ştiut-o, a auzit;*	**Ψλ80:5** Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου· γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν.	5. Mărturie întru Iosif a pus lui când a ieşit el din pământul Egiptului, limba care n-a ştiut, a auzit.
Ψλ80:6 ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.	*6. scos-a de sub sarcină spinarea lui, mâinile lui în coşniţă au slujit.*	**Ψλ80:6** Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.	6. „Scos-am de sub sarcini spinarea lui, mâinile lui în coşniţă au slujit.
Ψλ80:7 Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε· ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος, ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.	*7. Întru necaz M-ai chemat şi te-am izbăvit; auzitu-te-am întru ascundere de vifor, cercatu-te-am la apa prigonirii (împotriva-grăirii).*	**Ψλ80:7** Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε· ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος, ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.	7. Întru necaz M-ai chemat şi te-am izbăvit, auzitu-te-am întru ascundere de vifor, cercatu-te-am la apa prigonirii (împotriva-grăirii).
Ψλ80:8 ἄκουσον, λαός μου, καὶ διαμαρτύρομαί σοι· Ἰσραήλ, ἐὰν ἀκούσῃς μου,	*8. Ascultă poporul Meu, şi voi mărturisi ţie: Israele, de Mă vei asculta pe Mine,*	**Ψλ80:8** Ἄκουσον, λαός μου, καὶ διαμαρτύρομαί σοι· Ἰσραήλ, ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ.	8. Ascultă, poporul Meu, şi voi mărturisi ţie: Israele, de Mă vei asculta pe Mine, nu va fi întru tine dumnezeu nou, nici nu te vei închina la dumnezei străini.
Ψλ80:9 οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ·	*9. nu va fi întru tine dumnezeu nou, nici te vei închina la dumnezeu străin;*		
Ψλ80:10 ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου ὁ	*10. că eu sunt Domnul Dumnezeul tău, Cel ce*	**Ψλ80:9** Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ	9. Că Eu sunt Domnul Dumnezeul tău, Cel ce

ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου· πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.	*te-am scos din pământul Egiptului; lărgeşte gura ta şi o voi umplea pe ea.*	ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου· πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.	te-am scos din pământul Egiptului; lărgeşte gura ta şi o voi umple pe ea.
Ψλ80:11 καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραήλ οὐ προσέσχεν μοι·	*11. Şi n-a ascultat poporul Meu glasul Meu, şi Israel n-a luat aminte la Mine;*	**Ψλ80:10** Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ **προσέσχε** μοι.	10. Şi n-a ascultat poporul Meu glasul Meu, şi Israel n-a luat aminte la Mine.
Ψλ80:12 καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.	*12. şi i-am slobozit pe dânşii după meşteşugurile inimilor lor, merge-vor întru meşteşugurile lor.*	**Ψλ80:11** Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.	11. Şi i-am slobozit pe dânşii după meşteşugirile inimilor lor, merge-vor întru meşteşugurile lor.
Ψλ80:13 εἰ ὁ λαός μου ἤκουσέν μου, Ἰσραήλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη,	*13. De M-ar fi ascultat poporul Meu, Israel de ar fi umblat în căile Mele,*	**Ψλ80:12** Εἰ ὁ λαός μου **ἤκουσέ** μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη,	12. De M-ar fi ascultat poporul Meu, de ar fi umblat Israel în căile Mele,
Ψλ80:14 ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον τὴν χεῖρά μου.	*14. întru nimic aş fi smerit pe vrăjmaşii lor şi asupra celor ce-i necăjesc pe dânşii aş fi pus mâna Mea.*	**Ψλ80:13** ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον τὴν χεῖρά μου.	13. întru nimic aş fi smerit pe vrăjmaşii lor şi asupra celor ce-i necăjeau pe dânşii aş fi pus mâna Mea".
Ψλ80:15 οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.	*15. Vrăjmaşii Domnului au minţit Lui, şi va fi vremea lor în veac.*	**Ψλ80:14** Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ, καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.	14. Vrăjmaşii Domnului au minţit Lui şi va fi vremea lor în veac.
Ψλ80:16 καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.	*16. Şi i-a hrănit pe ei din grăsimea grâului, şi cu miere din piatră i-a săturat pe dânşii.*	**Ψλ80:15** Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. Δόξα...	15. Şi i-a hrănit pe ei cu grăsimea grâului, şi cu miere din piatră i-a săturat pe dânşii. Slavă…
ΨΑΛΜΟΣ ΠΑ΄. Ψαλμὸς τῷ Ασαφ.	*PSALMUL 81 Psalm lui Asaf.*	ΨΑΛΜΟΣ ΠΑ΄. Ψαλμὸς τῷ Ἀσάφ.	*PSALMUL 81 Psalm lui Asaf.*
Ψλ81:1 Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρίνει	*1. Dumnezeu a stătut întru adunarea dumnezeilor, în mijloc pe dumnezei va judeca.*	**Ψλ81:1** Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς **διακρινεῖ**.	1. Dumnezeu a stătut întru adunarea dumnezeilor, în mijloc pe dumnezei va judeca.
Ψλ81:2 Ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;	*2. Până când judecaţi nedreptate, şi feţele păcătoşilor le luaţi înainte?*	**Ψλ81:2** Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;	2. Până când veţi judeca nedreptate şi feţele păcătoşilor le luaţi înainte?
Ψλ81:3 κρίνατε ὀρφανὸν καὶ πτωχόν, ταπεινὸν καὶ πένητα δικαιώσατε·	*3. Judecaţi orfanului şi săracului, pe cel smerit şi pe cel lipsit îndreptaţi-l.*	**Ψλ81:3** Κρίνατε **ὀρφανῷ** καὶ **πτωχῷ**, ταπεινὸν καὶ πένητα δικαιώσατε.	3. Judecaţi orfanului şi săracului; pe cel smerit şi pe cel lipsit îndreptaţi-l.
Ψλ81:4 ἐξέλεσθε	*4. Scoateţi pe cel lipsit*	**Ψλ81:4** Ἐξέλεσθε	4. Scoateţi pe cel lipsit

πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε.	*şi pe cel sărac, din mâna păcătosului izbăviţi-l.*	πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε **αὐτόν**.	şi pe cel sărac, din mâna păcătosului izbăviţi-l pe el.
Ψλ81:5 οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς.	*5. N-au cunoscut, nici nu au priceput, întru întuneric umblă; să se clatine toate temeliile pământului.*	**Ψλ81:5** Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.	5. N-au cunoscut, nici n-au priceput, întru întuneric umblă; să se clatine toate temeliile pământului.
Ψλ81:6 ἐγὼ εἶπα Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες·	*6. Eu am zis: Dumnezei sunteţi şi fii ai Celui Preaînalt toţi;*	**Ψλ81:6** Ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες.	6. Eu am zis: „Dumnezei sunteţi şi fii ai Celui Preaînalt toţi”.
Ψλ81:7 ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.	*7. iar voi ca nişte oameni muriţi şi ca unul din boieri (începători) cădeţi.*	**Ψλ81:7** Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.	7. Iar voi ca nişe oameni muriţi, şi ca unul din boieri cădeţi.
Ψλ81:8 ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσιν τοῖς ἔθνεσιν.	*8. Scoală-Te Dumnezeule, judecă pământul, că Tu vei moşteni întru toate neamurile.*	**Ψλ81:8** Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν **πᾶσι** τοῖς ἔθνεσιν.	8. Scoală-Te, Dumnezeule, judecă pământul, că Tu vei moşteni întru toate neamurile.
ΨΑΛΜΟΣ ΠΒ΄. Ὠδὴ ψαλμοῦ τῷ Ασαφ.	*PSALMUL 82 Cântare de psalm lui Asaf.*	ΨΑΛΜΟΣ ΠΒ΄. Ὠδὴ ψαλμοῦ τῷ Ἀσάφ.	*PSALMUL 82 Cântare de psalm lui Asaf.*
Ψλ82:1 Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς μηδὲ καταπραύνῃς, ὁ Θεός·	*1. Dumnezeule, cine se va asemăna Ţie? Să nu taci, nici să Te îmblânzeşti, Dumnezeule!*	**Ψλ82:1** Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς, μηδὲ **καταπραΰνῃς**, ὁ Θεός.	1. Dumnezeule, cine se va asemăna Ţie? Să nu taci, nici să Te îmblânzeşti, Dumnezeule!
Ψλ82:2 ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν,	*2. Că iată vrăjmaşii Tăi au răsunat, şi cei ce Te urăsc pe Tine au ridicat capul,*	**Ψλ82:2** Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.	2. Că iată, vrăjmaşii Tăi au răsunat şi cei ce Te urăsc pe Tine au ridicat capul.
Ψλ82:3 ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου·	*3. Asupra poporului Tău au meşteşugit gând, şi s-au sfătuit împotriva sfinţilor Tăi;*	**Ψλ82:3** Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.	3. Asupra poporului Tău au meşteşugit socoteală şi s-au sfătuit împotriva sfinţilor Tăi.
Ψλ82:4 εἶπαν Δεῦτε καὶ ἐξολεθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραήλ ἔτι.	*4. zis-au: Veniţi şi să-i pierdem pe dânşii din neam, şi să nu se mai pomenească numele lui Israel încă.*	**Ψλ82:4** **Εἶπον**· Δεῦτε καὶ ἐξολεθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.	4. Zis-au: „Veniţi să-i pierdem pe dânşii din neam, şi nu se va mai pomeni numele lui Israel încă”.
Ψλ82:5 ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό, κατὰ σοῦ διαθήκην διέθεντο	*5. Că s-au sfătuit în unire dimpreună, împotriva Ta aşezământ au pus*	**Ψλ82:5** Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό, κατὰ σοῦ διαθήκην διέθεντο, τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ	5. Că s-au sfătuit în unire dimpreună, împotriva Ta au pus aşezământ, locaşurile Idumeilor şi Ismailitenii,

		Ἰσμαηλῖται,	
Ψλ82:6 τὰ σκηνώματα τῶν Ιδουμαίων καὶ οἱ Ισμαηλῖται, Μωαβ καὶ οἱ Αγαρηνοί,	*6. lăcaşurile Idumeilor şi Ismailitenii, Moab şi Agarenii,*	Ψλ82:6 Μωὰβ καὶ οἱ Ἀγαρηνοί, Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ, ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον.	6. Moab şi Agarenii, Ghebal şi Ammon şi Amalic, cei de alt neam cu cei ce locuiesc în Tir,
Ψλ82:7 Γεβαλ καὶ Αμμων καὶ Αμαληκ **καὶ** ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον·	*7. Ghebal şi Amon şi Amalic şi cei de alt neam cu cei ce locuiesc în Tir;*		
Ψλ82:8 καὶ γὰρ καὶ Ασσουρ συμπαρεγένετο μετ’ αὐτῶν, ἐγενήθησαν εἰς ἀντίλημψιν τοῖς υἱοῖς Λωτ.	*8. că şi Assur a venit împreună cu dânşii, făcutu-s-au spre ajutor fiilor lui Lot.*	Ψλ82:7 Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ’ αὐτῶν, ἐγενήθησαν εἰς ἀντίλημψιν τοῖς υἱοῖς Λώτ.	7. Că şi Assur a venit împreună cu dânşii, făcutu-s-au spre ajutor fiilor lui Lot.
Ψλ82:9 ποίησον αὐτοῖς ὡς τῇ Μαδιαμ καὶ τῷ Σισαρα, ὡς ὁ Ιαβιν ἐν τῷ χειμάρρῳ Κισων·	*9. Fă-le lor ca lui Madiam, şi Sisarei, ca lui Iavin în râul Chison;*	Ψλ82:8 Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισαάρᾳ, ὡς ὁ Ἰαβὶν ἐν τῷ χειμάρρῳ Κισῶν.	8. Fă-le lor ca lui Madiam şi Sisarei şi ca lui Iavin, la râul Chison.
Ψλ82:10 ἐξωλεθρεύθησαν ἐν Αενδωρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.	*10. pierit-au în Endor, făcutu-s-au ca gunoiul pământului.*	Ψλ82:9 Ἐξωλεθρεύθησαν ἐν Ἀενδώρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.	9. Pierit-au în Endor, făcutu-s-au ca gunoiul pământului.
Ψλ82:11 θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ωρηβ καὶ Ζηβ καὶ Ζεβεε καὶ Σαλμανα πάντας τοὺς ἄρχοντας αὐτῶν,	*11. Pune pe începătorii lor ca pe Oriv şi Ziv şi Zevee şi Salmana, pe toţi începătorii lor,*	Ψλ82:10 Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβὲε καὶ **Σαλμανᾶν**, πάντας τοὺς ἄρχοντας αὐτῶν,	10. Pune pe boierii (începătorii) lor ca pe Oriv şi Ziv şi Zevee şi Salmana, pe toţi boierii lor,
Ψλ82:12 οἵτινες εἶπαν Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.	*12. care au zis: Să moştenim nouă sfinţitorul lui Dumnezeu.*	Ψλ82:11 οἵτινες **εἶπον**· Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.	11. care au zis: „Să moştenim noi sfinţitorul (jertfelnicul) lui Dumnezeu”.
Ψλ82:13 ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου·	*13. Dumnezeul meu, pune-i pe ei ca o roată, ca trestia înaintea feţei vântului;*	Ψλ82:12 Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.	12. Dumnezeul meu, pune-i pe ei ca o roată, ca trestia înaintea feţei vântului.
Ψλ82:14 ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμόν, ὡς **εἰ** φλὸξ κατακαύσαι ὄρη,	*14. ca focul care arde pădurea, ca văpaia care arde munţii,*	Ψλ82:13 Ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμόν, **ὡσεὶ** φλὸξ, **ἢ κατακαύσει** ὄρη,	13. Ca focul care arde pădurea, ca văpaia care arde munţii,
Ψλ82:15 οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου καὶ ἐν τῇ ὀργῇ σου ταράξεις αὐτούς.	*15. aşa îi vei goni pe dânşii întru viforul Tău şi întru mânia Ta îi vei turbura pe ei.*	Ψλ82:14 **οὕτω** καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου **συνταράξεις** αὐτούς.	14. aşa îi vei goni pe dânşii întru viforul Tău, şi întru urgia Ta îi vei tulbura pe ei.
Ψλ98:9 ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.	*9. Înălţaţi pe Domnul Dumnezeul nostru şi vă închinaţi în muntele cel sfânt al Lui, că sfânt este Domnul Dumnezeul nostru.*	**Ψλ98:10** Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.	10. Înălţaţi pe Domnul Dumnezeul nostru şi vă închinaţi în muntele cel sfânt al Lui, că sfânt este Domnul, Dumnezeul nostru!
ΨΑΛΜΟΣ ϞΘ΄. Ψαλμὸς εἰς ἐξομολόγησιν.	*PSALMUL 99* *Psalm spre mărturisire.*	ΨΑΛΜΟΣ ϞΘ΄. Ψαλμὸς τῷ Δαυΐδ, εἰς ἐξομολόγησιν.	*PSALMUL 99* *Psalm lui David, spre mărturisire.*
Ψλ99:1 Ἀλαλάξατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ,	*1. Strigaţi lui Dumnezeu, tot pământul,*	**Ψλ99:1** Ἀλαλάξατε τῷ **Θεῳ**, πᾶσα ἡ γῆ· δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ, **εἰσέλθετε** ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.	1. Strigaţi lui Dumnezeu tot pământul, slujiţi Domnului întru veselie, intraţi înaintea Lui cu bucurie.
Ψλ99:2 δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ, εἰσέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.	*2. robiţi-vă Domnului întru veselie, intraţi înaintea Lui întru bucurie.*		
Ψλ99:3 γνῶτε ὅτι Κύριος, αὐτός ἐστιν ὁ Θεός, αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς, λαὸς αὐτοῦ καὶ πρόβατα **τῆς** νομῆς αὐτοῦ.	*3. Cunoaşteţi că Domnul, Acesta este Dumnezeu, El ne-a făcut pe noi şi nu noi, poporul lui şi oile păşunii Lui.*	**Ψλ99:2** Γνῶτε ὅτι Κύριος, αὐτός ἐστιν ὁ Θεὸς **ἡμῶν**, αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς· **ἡμεῖς δὲ** λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.	2. Cunoaşteţi că Domnul, Acesta este Dumnezeul nostru, El ne-a făcut pe noi, şi nu noi; iar noi, poporul Lui şi oile păşunii Lui.
Ψλ99:4 εἰσέλθατε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις· ἐξομολογεῖσθε αὐτῷ,	*4. Intraţi în porţile Lui întru mărturisire, în curţile Lui întru laude; mărturisiţi-vă Lui, lăudaţi numele Lui,*	**Ψλ99:3 Εἰσέλθετε** εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις,	3. Intraţi în porţile Lui întru mărturisire, în curţile Lui întru laude, mărturisiţi-vă Lui.

αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, **Ψλ99:5** ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.	*5. că este bun Domnul, în veac este mila Lui, şi până în neam şi în neam adevărul Lui.*	ἐξομολογεῖσθε αὐτῷ. **Ψλ99:4** Αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς Κύριος· εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.	4. Lăudaţi numele Lui, că este bun Domnul; în veac este mila Lui, şi până în neam şi în neam adevărul Lui.
ΨΑΛΜΟΣ Ρ΄. Τῷ Δαυῒδ ψαλμός.	*PSALMUL 100* *A lui David psalm.*	ΨΑΛΜΟΣ Ρ΄. Ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 100* *Psalm a lui David.*
Ψλ100:1 Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· **Ψλ100:2** ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρός με; διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.	*1. Milă şi judecată voi cânta Ţie, Doamne;* *2. cânta-voi şi voi înţelege în cale fără prihană; când vei veni la mine? Umblat-am întru nerăutatea inimii mele în mijlocul casei mele.*	**Ψλ100:1** Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρός με; **Ψλ100:2** Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.	1. Milă şi judecată voi cânta Ţie, Doamne; cânta-voi şi voi înţelege în cale fără prihană; când vei veni către mine? 2. Umblat-am întru nerăutatea inimii mele, în mijlocul casei mele.
Ψλ100:3 οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα·	*3. N-am pus înaintea ochilor mei lucru fără de lege, pe cei ce făceau călcări de lege i-am urât;*	**Ψλ100:3** Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα.	3. N-am pus înaintea ochilor mei lucru fără de lege; pe cei ce făceau călcări de lege i-am urât.
Ψλ100:4 οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ᾿ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.	*4. nu s-a lipit de mine inima îndărătnică, pe cel ce se abate de la mine, pe cel viclean, nu l-am cunoscut.*	**Ψλ100:4** Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ᾿ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.	4. Nu s-a lipit de mine inima îndărătnică; pe cel ce se abate de la mine, pe cel viclean, n-am cunoscut.
Ψλ100:5 τὸν καταλαλοῦντα λάθρᾳ τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.	*5. Pe cel ce clevetea în ascuns pe aproapele său, pe acela l-am gonit; cu cel mândru cu ochiul şi cu cel nesăţios la inimă, cu acesta n-am mâncat.*	**Ψλ100:5** Τὸν καταλαλοῦντα λάθρᾳ **τὸν** πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. **Ψλ100:6** Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.	5. Pe cel ce clevetea în ascuns pe aproapele său, pe acela l-am gonit. 6. Cu cel mândru cu ochiul şi cu cel nesăţios la inimă, cu acesta n-am mâncat.
Ψλ100:6 οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς τοῦ συγκαθῆσθαι αὐτοὺς μετ᾿ ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.	*6. Ochii mei peste credincioşii pământului, ca să şadă ei împreună cu mine; cel ce umblă în cale fără prihană, acela îmi slujea.*	**Ψλ100:7** Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ᾿ ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.	7. Ochii mei peste credincioşii pământului, ca să şadă ei împreună cu mine; cel ce umblă în cale fără prihană, acela îmi slujea.
Ψλ100:7 οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν, λαλῶν ἄδικα οὐ	*7. Nu va locui în mijlocul casei mele cel ce face mândrie, cel ce grăieşte nedreptăţi, nu*	**Ψλ100:8** Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν, λαλῶν ἄδικα οὐ	8. Nu a locuit în mijlocul casei mele cel ce face mândrie; cel ce grăieşte nedreptăţi, nu s-

κατεύθυνεν ἐναντίον τῶν ὀφθαλμῶν μου. **Ψλ100:8** εἰς τὰς πρωίας ἀπέκτεννον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς τοῦ ἐξολεθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.	*s-a îndreptat înaintea ochilor mei.* *8. În dimineţi am ucis pe toţi păcătoşii pământului, ca să pierd din cetatea Domnului pe toţi cei ce lucrează fărădelegea.*	κατεύθυνεν **ἐνώπιον** τῶν ὀφθαλμῶν μου. **Ψλ100:9** Εἰς τὰς πρωΐας ἀπέκτεννον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ **ἐξολοθρεῦσαι** ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Δόξα...	a îndreptat înaintea ochilor mei. 9. În dimineţi am ucis pe toţi păcătoşii pământului, ca să pierd din cetatea Domnului pe toţi cei ce lucrează fărădelegea. Slavă…
		ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ ΤΕΤΑΡΤΟΝ	Catisma a paisprezecea
ΨΑΛΜΟΣ ΡΑ΄. Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.	*PSALMUL 101* *Rugăciunea săracului când se mâhneşte şi înaintea Domnului varsă rugăciunea sa.*	ΨΑΛΜΟΣ ΡΑ΄. Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.	*PSALMUL 101* *Rugăciunea săracului când se mâhneşte şi înaintea Domnului varsă rugăciunea sa.*
Ψλ101:1 Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθάτω.	*1. Auzi, Doamne, rugăciunea mea, şi strigarea mea la Tine să vie!*	**Ψλ101:1** Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθάτω.	1. Doamne, auzi rugăciunea mea şi strigarea mea la Tine să vie!
Ψλ101:2 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον τὸ οὖς σου πρός με· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ εἰσάκουσόν μου.	*2. Să nu întorci faţa Ta de la mine, în orice zi mă necăjesc, pleacă urechea Ta către mine; în orice zi Te voi chema, degrab mă auzi.*	**Ψλ101:2** Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ **ἐπάκουσόν** μου.	2. Să nu întorci faţa Ta de la mine, în orice zi mă necăjesc, pleacă către mine urechea Ta; în orice zi Te voi chema, degrab mă auzi.
Ψλ101:3 ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.	*3. Că s-au stins ca fumul zilele mele, şi oasele mele ca uscăciunea s-au uscat.*	**Ψλ101:3** Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.	3. Că s-au stins ca fumul zilele mele şi oasele mele ca uscăciunea s-au uscat.
Ψλ101:4 ἐπλήγη ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.	*4. Rănit am fost ca iarba, şi s-a uscat inima mea, că mi-am uitat a mânca pâinea mea.*	**Ψλ101:4** **Ἐπλήγην** ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.	4. Pălit am fost ca iarba şi s-a uscat inima mea, încât (că) am uitat să mănânc pâinea mea.
Ψλ101:5 ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.	*5. De glasul suspinului meu s-a lipit osul meu de carnea mea.*	**Ψλ101:5** Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.	5. De glasul suspinului meu, s-a lipit osul meu de carnea mea.
Ψλ101:6 ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν	*6. Asemănatu-m-am cu pelicanul de pustie, făcutu-m-am ca corbul (liliacul) de noapte în*	**Ψλ101:6** Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν	6. Asemănatu-m-am cu pelicanul din pustie, făcutu-m-am ca bufniţa din ruine.

οἰκοπέδῳ,	*loc nelocuit,*	οἰκοπέδῳ.	
Ψλ101:7 ἠγρύπνησα καὶ ἐγενήθην ὡσεὶ στρουθίον μονάζον ἐπὶ δώματος.	*7. privegheat-am şi m-am făcut ca o pasăre singuratică pe casă.*	**Ψλ101:7** Ἠγρύπνησα, καὶ **ἐγενόμην ὡς** στρουθίον μονάζον ἐπὶ δώματος.	7. Privegheat-am şi m-am făcut ca o pasăre singuratică pe acoperiş.
Ψλ101:8 ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.	*8. Toată ziua m-au ocărât vrăjmaşii mei, şi cei ce mă lăudau asupra mea se jurau.*	**Ψλ101:8** Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.	8. Toată ziua m-au ocărât vrăjmaşii mei şi cei ce mă lăudau asupra mea se jurau.
Ψλ101:9 ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων	*9. Că cenuşă ca pâinea am mâncat, şi băutura mea cu plângere am amestecat,*	**Ψλ101:9** Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων, ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με.	9. Că cenuşă ca pâinea am mâncat şi băutura mea cu plângere am amestecat, de către faţa urgiei Tale şi a mâniei Tale, că înălţându-mă m-ai doborât.
Ψλ101:10 ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με.	*10. de către faţa urgiei Tale şi a mâniei Tale, că înălţându-mă m-ai surpat.*		
Ψλ101:11 αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, καὶ ἐγὼ ὡσεὶ χόρτος ἐξηράνθην.	*11. Zilele mele ca umbra s-au plecat, şi eu ca iarba m-am uscat.*	**Ψλ101:10** Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, **κἀγὼ** ὡσεὶ χόρτος ἐξηράνθην.	10. Zilele mele ca umbra s-au plecat şi eu ca iarba m-am uscat.
Ψλ101:12 σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.	*12. Iar Tu, Doamne, în veac rămâi, şi pomenirea Ta în neam şi în neam.*	**Ψλ101:11** Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.	11. Iar Tu, Doamne, în veac rămâi, şi pomenirea Ta în neam şi în neam.
Ψλ101:13 σὺ ἀναστὰς οἰκτιρήσεις τὴν Σιων, ὅτι καιρὸς τοῦ οἰκτιρῆσαι αὐτήν, ὅτι ἥκει καιρός·	*13. Tu sculându-Te vei îndura de Sion, că vremea este a Te milostivi (îndura) de el, că a venit vremea;*	**Ψλ101:12** Σὺ ἀναστὰς οἰκτιρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτιρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.	12. Sculându-Te Tu, vei milui Sionul, că vremea este să Te milostiveşti spre el, că a venit vremea.
Ψλ101:14 ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς καὶ τὸν χοῦν αὐτῆς οἰκτιρήσουσιν.	*14. că bine au voit robii Tăi pietrele lui şi de ţărâna lui le va fi milă (se vor îndura).*	**Ψλ101:13** Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς **οἰκτιρήσουσι**.	13. Că bine au voit robii Tăi în pietrele lui şi de ţărâna lui le va fi milă.
Ψλ101:15 καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίου καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου,	*15. Şi se vor teme neamurile de numele Domnului şi toţi împăraţii pământului de slava Ta,*	**Ψλ101:14** Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ **ὄνομά σου, Κύριε**, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.	14. Şi se vor teme neamurile de numele Tău, Domne, şi toţi împăraţii pământului de slava Ta.
Ψλ101:16 ὅτι οἰκοδομήσει Κύριος τὴν Σιων καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.	*16. că va zidi Domnul Sionul şi se va arăta întru slava Sa.*	**Ψλ101:15** Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.	15. Că va zidi Domnul Sionul şi Se va arăta întru slava Sa.
Ψλ101:17 ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν καὶ οὐκ ἐξουδένωσεν τὴν δέησιν	*17. Căutat-a spre rugăciunea celor smeriţi şi nu au defăimat cererea lor.*	**Ψλ101:16** Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ **ἐξουδένωσε** τὴν δέησιν	16. Căutat-a spre rugăciunea celor smeriţi, şi nu a defăimat cerea lor.

αὐτῶν.		αὐτῶν.	
Ψλ101:18 γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον,	*18. Să se scrie aceasta întru alt neam, şi poporul ce se zideşte va lăuda pe Domnul,*	**Ψλ101:17** Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.	17. Să se scrie aceasta întru alt neam, şi poporul ce se zideşte va lăuda pe Domnul.
Ψλ101:19 ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν	*19. că a privit dintru înălţimea cea sfântă a Lui, Domnul din cer pe pământ s-a uitat,*	**Ψλ101:18** Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε,	18. Că a privit dintru înălţimea cea sfântă a Lui, Domnul din cer pe pământ a privit,
Ψλ101:20 τοῦ ἀκοῦσαι τὸν στεναγμὸν τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,	*20. ca să audă suspinul celor ferecaţi, să dezlege pe fiii celor omorâţi,*	**Ψλ101:19** τοῦ ἀκοῦσαι **τοῦ στεναγμοῦ** τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,	19. ca să audă suspinul celor ferecaţi, să dezlege pe fiii celor omorâţi,
Ψλ101:21 τοῦ ἀναγγεῖλαι ἐν Σιων τὸ ὄνομα Κυρίου καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ιερουσαλημ	*21. ca să vestească în Sion numele Domnului şi lauda lui în Ierusalim,*	**Ψλ101:20** τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ,	20. ca să vestească în Sion numele Domnului, şi lauda Lui în Ierusalim,
Ψλ101:22 ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.	*22. când se vor aduna popoarele dimpreună şi împăraţii ca să slujească Domnului.*	**Ψλ101:21** ἐν τῷ **ἐπισυναχθῆναι** λαοὺς ἐπὶ τὸ αὐτὸ, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.	21. când se vor aduna popoarele dimpreună, şi împăraţii ca să slujească Domnului.
Ψλ101:23 ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι·	*23. Răspuns-a Lui în calea tăriei Lui: Împuţinarea zilelor mele spune-mi;*	**Ψλ101:22** Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.	22. Răspuns-a Lui în calea tăriei Lui: Împuţinarea zilelor mele spune-mi.
Ψλ101:24 μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.	*24. nu mă duce pe mine întru înjumătăţirea zilelor mele, în neamul neamurilor anii Tăi.*	**Ψλ101:23** Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.	23. Nu mă duce (ridica) pe mine întru înjumătăţirea zilelor mele, în neamul neamurilor anilor Tăi.
Ψλ101:25 κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί·	*25. Întru început Tu, Doamne, pământul l-ai întemeiat, şi lucrurile mâinilor Tale sunt cerurile;*	**Ψλ101:24** κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.	24. Întru început, Tu, Doamne, pământul l-ai întemeiat şi lucrurile mâinilor Tale sunt cerurile.
Ψλ101:26 αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτούς, καὶ ἀλλαγήσονται·	*26. acelea vor pieri, iar Tu vei rămâne, şi toţi ca o haină se vor învechi, şi ca vestmânt îi vei înveli pe ei şi se vor schimba;*	**Ψλ101:25** Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον **ἑλίξεις** αὐτούς, καὶ ἀλλαγήσονται.	25. Acelea vor pieri, iar Tu vei rămâne; şi toţi ca o haină se vor învechi şi ca un veşmânt îi vei înveli şi se vor schimba.
Ψλ101:27 σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ	*27. iar Tu Acelaşi eşti şi anii Tăi nu vor lipsi.*	**Ψλ101:26** Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ	26. Iar Tu Acelaşi eşti şi anii Tăi nu vor lipsi.

ἐκλείψουσιν.		ἐκλείψουσιν.	
Ψλ101:28 οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσιν, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.	*28. Fiii robilor Tăi vor locui (se vor sălăşlui), şi sămânţa lor în veac se va îndrepta.*	**Ψλ101:27** Οἱ υἱοὶ τῶν δούλων σου **κατασκηνώσουσι**, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.	27. Fiii robilor Tăi se vor sălăşlui şi sămânţa lor în veac se va îndrepta.
ΨΑΛΜΟΣ ΡΒ΄. Τῷ Δαυΐδ.	*PSALMUL 102* *Al lui David.*	ΨΑΛΜΟΣ ΡΒ΄. Τῷ Δαυΐδ.	*PSALMUL 102* *Al lui David.*
Ψλ102:1 Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ·	*1. Binecuvântează, suflete al meu, pe Domnul şi, toate cele dinlăuntrul meu, numele cel sfânt al Lui;*	**Ψλ102:1** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.	1. Binecuvântează, suflete al meu, pe Domnul şi, toate cele dinlăuntrul meu, numele cel sfânt al Lui.
Ψλ102:2 εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ·	*2. binecuvântează suflete al meu, pe Domnul şi nu uita toate răsplătirile Lui;*	**Ψλ102:2** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.	2. Binecuvântează, suflete al meu, pe Domnul şi nu uita toate răsplătirile Lui.
Ψλ102:3 τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου·	*3. pe Cel ce curăţeşte toate fărădelegile tale, pe Cel ce vindecă toate bolile tale;*	**Ψλ102:3** Τὸν εὐϊλατεύοντα **πάσας τὰς** ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.	3. Pe Cel ce curăţeşte toate fărădelegile tale, pe Cel ce vindecă toate bolile tale.
Ψλ102:4 τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς·	*4. pe Cel ce izbăveşte din stricăciune viaţa ta, pe Cel ce te încununează cu milă şi cu îndurări;*	**Ψλ102:4** Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.	4. Pe Cel ce izbăveşte din stricăciune viaţa ta, pe Cel ce te încununează cu milă şi cu îndurări.
Ψλ102:5 τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.	*5. pe Cel ce umple de bunătăţi pofta ta, înnoi-se-vor ca ale vulturului tinereţile tale.*	**Ψλ102:5** Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.	5. Pe Cel ce umple de bunătăţi pofta ta, înnoi-se-vor ca ale vulturului tinereţile tale.
Ψλ102:6 ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.	*6. Cel ce face milostenie Domnul, şi judecată tuturor celor ce li se face strâmbătate.*	**Ψλ102:6** Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.	6. Cel ce face milostenie, Domnul, şi judecată tuturor celor ce li se face strâmbătate.
Ψλ102:7 ἐγνώρισεν τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ, τοῖς υἱοῖς Ἰσραήλ τὰ θελήματα αὐτοῦ.	*7. Cunoscute a făcut căile Sale lui Moise, fiilor lui Israel voile Sale.*	**Ψλ102:7 Ἐγνώρισε** τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.	7. Cunoscute a făcut căile Sale lui Moise, fiilor lui Israel voile Sale.
Ψλ102:8 οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος·	*8. Îndurat şi milostiv este Domnul, îndelung-răbdător şi mult-milostiv;*	**Ψλ102:8** Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα	8. Îndurat şi milostiv este Domnul, îndelung-răbdător şi mult-milostiv; nu până în sfârşit Se va iuţi, nici în veac Se va mânia.
Ψλ102:9 οὐκ εἰς τέλος ὀργισθήσεται οὐδὲ εἰς	*9. nu până în sfârşit Se va iuţi, nici în veac Se*		

τὸν αἰῶνα μηνιεῖ·	*va mânia;*	μηνιεῖ.	
Ψλ102:10 οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν	*10. Nu după păcatele noastre a făcut nouă, nici după fărădelegile noastre ne-a răsplătit nouă,*	**Ψλ102:9** Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.	9. Nu după fărădelegile noastre a făcut nouă, nici după păcatele noastre ne-a răsplătit nouă.
Ψλ102:11 ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσεν Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν·	*11. că după înălţimea cerului de la pământ a întărit Domnul mila Sa spre cei ce se tem de El;*	**Ψλ102:10** Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.	10. Că, după înălţimea cerului de la pământ a întărit Domnul mila Sa spre cei ce se tem de El.
Ψλ102:12 καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.	*12. pe cât sunt de departe răsăriturile de la apusuri, depărtat-a de la noi fărădelegile noastre.*	**Ψλ102:11** **Καθόσον** ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.	11. Pe cât sunt de departe Răsăriturile de la Apusuri, depărtat-a de la noi fărădelegile noastre.
Ψλ102:13 καθὼς οἰκτίρει πατὴρ υἱούς, οἰκτίρησεν Κύριος τοὺς φοβουμένους αὐτόν, **Ψλ102:14** ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν· μνήσθητι ὅτι χοῦς ἐσμεν.	*13. În ce chip se îndură tatăl de fii, s-a îndurat Domnul spre cei ce se tem de Dânsul, 14. că El a cunoscut zidirea noastră; adusu-Şi-a aminte că ţărână suntem.*	**Ψλ102:12** Καθὼς οἰκτίρει πατὴρ υἱούς, **ᾠκτείρησε** Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, **ἐμνήσθη** ὅτι χοῦς ἐσμεν.	12. În ce chip miluieşte tatăl pe fii, aşa a miluit Domnul pe cei ce se tem de Dânsul, că El a cunoscut zidirea noastră, adusu-Şi-a aminte că ţărână suntem.
Ψλ102:15 ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει·	*15. Omul, ca iarba zilele lui; ca floarea câmpului, aşa va înflori;*	**Ψλ102:13** Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.	13. Omul, ca iarba zilele lui, ca floarea câmpului, aşa va înflori.
Ψλ102:16 ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.	*16. că duh a trecut printr-însul, şi nu va fi, şi nu-şi va mai cunoaşte încă locul său.*	**Ψλ102:14** Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.	14. Că duh a trecut printr-însul şi nu va fi şi nu-şi va mai cunoaşte încă locul său.
Ψλ102:17 τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν	*17. Iar mila Domnului din veac şi până în veac spre cei ce se tem de Dânsul, şi dreptatea Lui spre fiii fiilor,*	**Ψλ102:15** Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. **Ψλ102:16** Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν, τοῖς **φυλάσσουσι** τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.	15. Iar mila Domnului din veac şi până în veac spre cei ce se tem de El. 16. Şi dreptatea Lui spre fiii fiilor, spre cei ce păzesc aşezământul de lege al Lui, şi-şi aduc aminte de poruncile Lui ca să le facă pe ele.
Ψλ102:18 τοῖς φυλάσσουσιν τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.	*18. spre cei ce păzesc aşezământul de lege al Lui, şi-şi aduc aminte de poruncile Lui ca să le facă pe ele.*		
Ψλ102:19 Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασεν τὸν	*19. Domnul în cer au gătit tronul Său, şi*	**Ψλ102:17** Κύριος ἐν τῷ οὐρανῷ **ἡτοίμασε** τὸν	17. Domnul în cer a gătit scaunul Său, şi

θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.	*Împărăţia Lui peste toţi stăpâneşte.*	θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.	Împărăţia Lui peste toţi stăpâneşte.
Ψλ102:20 εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ·	*20. Binecuvântaţi pe Domnul, toţi îngerii Lui, cei puternici la vârtute, care faceţi cuvântul Lui, auziţi glasul cuvintelor Lui;*	**Ψλ102:18** Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχῦϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.	18. Binecuvântaţi pe Domnul, toţi îngerii Lui, cei puternici la vârtute, care faceţi cuvântul Lui, auziţi glasul cuvintelor Lui.
Ψλ102:21 εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ·	*21. binecuvântaţi pe Domnul, toate puterile Lui, slujitorii Lui care faceţi voia Lui;*	**Ψλ102:19** Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, **οἱ** ποιοῦντες τὸ θέλημα αὐτοῦ.	19. Binecuvântaţi pe Domnul, toate puterile Lui, slujitorii Lui, care faceţi voia Lui.
Ψλ102:22 εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.	*22. binecuvântaţi pe Domnul, toate lucrurile Lui în tot locul stăpânirii Lui; binecuvântează, suflete al meu, pe Domnul.*	**Ψλ102:20** Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Δόξα...	20. Binecuvântaţi pe Domnul, toate lucrurile Lui, în tot locul stăpânirii Lui; binecuvântează, suflete ale meu, pe Domnul. Slavă…
ΨΑΛΜΟΣ ΡΓ΄. Τῷ Δαυΐδ.	*PSALMUL 103* *Al lui David.*	ΨΑΛΜΟΣ ΡΓ΄. Τῷ Δαυΐδ, **ὑπὲρ τῆς τοῦ κόσμου συστάσεως.**	*PSALMUL 103* *Al lui David, despre alcătuirea lumii.*
Ψλ103:1 Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα, ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω	*1. Binecuvântează, suflete al meu, pe Domnul! Doamne, Dumnezeul meu, măritu-Te-ai foarte, întru mărturisire şi mare-cuviinţă Te-ai îmbrăcat,*	**Ψλ103:1** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.	1. Binecuvântează, suflete al meu, pe Domnul! Doamne, Dumnezeul meu, măritu-Te-ai foarte!
Ψλ103:2 ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν·	*2. Cel ce Te îmbraci cu lumina ca şi cu o haină, Cel ce întinzi cerul ca o piele;*	**Ψλ103:2** Ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.	2. Întru mărturisire şi mare-cuviinţă Te-ai îmbrăcat, Cel ce Te îmbraci cu lumina ca şi cu o haină.
Ψλ103:3 ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων·	*3. Cel ce acoperi cu ape cele mai de deasupra ale lui, cel ce pui nourii suirea Lui, cel ce umbli peste aripile vânturilor;*	**Ψλ103:3** Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν **ὕδασι** τὰ ὑπερῷα αὐτοῦ· **Ψλ103:4** ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.	3. Cel ce întinzi cerul ca un cort (piele); Cel ce acoperi cu ape cele mai de deasupra ale lui; 4. Cel ce pui nourii suirea Ta (Lui), Cel ce umbli peste aripile vânturilor.
Ψλ103:4 ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ	*4. Cel ce faci pe îngerii Lui duhuri, şi pe slujitorii Lui pară de foc,*	**Ψλ103:5** Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ	5. Cel ce faci pe îngerii Tăi (Lui) duhuri şi pe slugile Tale (slujitorii Lui) pară de foc.

πυρός φλόγα		πυρὸς φλόγα.	
Ψλ103:5 ἐθεμελίωσεν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*5. Cel ce întemeiezi pământul pe întărirea lui, nu se va clătina în veacul veacului.*	**Ψλ103:6** Ὁ **θεμελιῶν** τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	6. Cel ce întemeiezi pământul pe întărirea Lui, nu se va clătina în veacul veacului.
Ψλ103:6 ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα·	*6. Adâncul ca o haină este îmbrăcămintea lui, peste munţi vor sta ape;*	**Ψλ103:7** Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.	7. Adâncul ca o haină este îmbrăcămintea lui, peste munţi vor sta ape.
Ψλ103:7 ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.	*7. De certarea Ta vor fugi, de glasul tunetului Tău se vor înfricoşa.*	**Ψλ103:8** Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.	8. De certarea Ta vor fugi, de glasul tunetului Tău se vor înfricoşa.
Ψλ103:8 ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσιν πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτοῖς·	*8. Se suie munţi şi se pogoară câmpiile în locul pe care le-ai întemeiat pe ele;*	**Ψλ103:9** Ἀναβαίνουσιν ὄρη καὶ **καταβαίνουσι** πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας **αὐτά**.	9. Se suie munţii şi se pogoară câmpiile în locul pe care l-ai întemeiat lor.
Ψλ103:9 ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσιν καλύψαι τὴν γῆν.	*9. hotar ai pus, pe care nu-l vor trece, nici se vor întoarce să acopere pământul.*	**Ψλ103:10** Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ **ἐπιστρέψουσι** καλύψαι τὴν γῆν.	10. Hotar ai pus, pe care nu-l vor trece, nici nu se vor întoarce ca să acopere pământul.
Ψλ103:10 ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα·	*10. Cel ce trimiţi izvoare în văi, prin mijlocul munţilor vor trece ape;*	**Ψλ103:11** Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.	11. Cel ce trimiţi izvoare în văi, prin mijlocul munţilor vor trece ape.
Ψλ103:11 ποτιοῦσιν πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν·	*11. adăpa-se-vor toate fiarele câmpului, aştepta-vor colunii întru stea lor;*	**Ψλ103:12** **Ποτιοῦσι** πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.	12. Adăpa-se-vor toate fiare câmpului, aştepta-vor colunii întru setea lor.
Ψλ103:12 ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσιν φωνήν.	*12. peste acelea păsările cerului vor locui, din mijlocul pietrelor vor da glas.*	**Ψλ103:13** Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν **δώσουσι** φωνήν.	13. Peste acelea păsările cerului vor locui, din mijlocul stâncilor vor da glas.
Ψλ103:13 ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.	*13. Cel ce adăpi munţii din cele mai de deasupra ale lui, din rodul lucrurilor Tale se va sătura pământul.*	**Ψλ103:14** Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.	14. Cel ce adăpi munţii din cele mai de deasupra ale Tale (lui), din rodul lucrurilor Tale se va sătura pământul.
Ψλ103:14 ἐξανατέλλων χόρτον τοῖς κτήνεσιν καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς·	*14. Cel ce răsare iarbă dobitoacelor şi verdeaţă spre slujba oamenilor, ca să scoată pâine din pământ;*	**Ψλ103:15** Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων,	15. Cel ce răsare iarbă dobitoacelor şi verdeaţă spre slujba oamenilor,
		Ψλ103:16 τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς	16. ca să scoată pâine din pământ; şi vinul
Ψλ103:15 καὶ οἶνος	*15. şi vinul veseleşte*		

εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.	*inima omului, ca să veselească faţa cu untdelemn, şi pâinea inima omului o întăreşte.*	γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, **Ψλ103:17** τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.	veseleşte inima omului, 17. ca să veselească faţa cu untdelemn şi pâinea inimii omului o întăreşte.
Ψλ103:16 χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσεν·	*16. Sătura-se-vor lemnele câmpului, cedrii Libanului, pe care i-ai sădit;*	**Ψλ103:18** Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.	18. Sătura-se-vor copacii câmpului, cedrii Libanului pe care i-ai sădit.
Ψλ103:17 ἐκεῖ στρουθία ἐννοσσεύσουσιν, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.	*17. acolo păsările îşi vor face cuib, locaşul erodiului le povăţuieşte pe ele.*	**Ψλ103:19** Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ **κατοικία** ἡγεῖται αὐτῶν.	19. Acolo păsările îşi vor face cuib, locaşul erodiului le povăţuieşte pe ele.
Ψλ103:18 ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.	*18. Munţii cei înalţi cerbilor, piatra scăpare iepurilor.*	**Ψλ103:20** Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.	20. Munţii cei înalţi cerbilor, piatra scăpare iepurilor.
Ψλ103:19 ἐποίησεν σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.	*19. Făcut-ai luna spre vremi, soarele şi-a cunoscut apusul său.*	**Ψλ103:21** **Ἐποίησε** σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.	21. Făcut-ai luna spre vremi, soarele şi-a cunoscut apusul său.
Ψλ103:20 ἔθου σκότος, καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ,	*20. Pus-ai întuneric şi s-a făcut noapte, întru aceea vor trece toate fiarele pădurii,*	**Ψλ103:22** Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.	22. Pus-ai întuneric şi s-a făcut noapte; întru aceea vor trece toate fiarele pădurii.
Ψλ103:21 σκύμνοι ὠρυόμενοι ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.	*21. puii leilor răcnind ca să apuce şi să ceară de la Dumnezeu mâncare lor.*	**Ψλ103:23** Σκύμνοι ὠρυόμενοι ἁρπάσαι καὶ ζητῆσαι παρὰ **τῷ Θεῷ** βρῶσιν αὐτοῖς.	23. Puii leilor răcnesc ca să apuce şi să ceară de la Dumnezeu mâncarea lor.
Ψλ103:22 ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν καὶ ἐν ταῖς μάνδραις αὐτῶν κοιτασθήσονται·	*22. Răsărit-a soarele şi s-au adunat şi în culcuşurile lor se vor culca;*	**Ψλ103:24** Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ **εἰς τὰς μάνδρας** αὐτῶν κοιτασθήσονται.	24. Răsărit-a soarele şi s-au adunat şi în culcuşurile lor se vor culca.
Ψλ103:23 ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.	*23. ieşi-va omul la lucrul său şi la lucrarea sa până seara.*	**Ψλ103:25** Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.	25. Ieşi-va omul la lucrul său şi la lucrarea sa până seara.
Ψλ103:24 ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτήσεώς σου.	*24. Cât s-au mărit lucrurile Tale, Doamne! Toate întru înţelepciune le-ai făcut, umplutu-s-a pământul de zidirea Ta.*	**Ψλ103:26** Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτήσεώς σου.	26. Cât s-au mărit lucrurile Tale, Doamne! Toate întru înţelepciune le-ai făcut, umplutu-s-a pământul de zidirea Ta.
Ψλ103:25 αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ	*25. Marea aceasta este mare şi largă, acolo (se*	**Ψλ103:27** Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ	27. Marea aceasta este mare şi largă; acolo se

εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων·	*găsesc) târâtoare, cărora nu este număr, vietăţi mici cu mari;*	εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.	găsesc târâtoare cărora nu este număr, vietăţi mici cu mari.
Ψλ103:26 ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.	*26. acolo corăbiile umblă, balaurul acesta, pe care l-ai zidit a-l batjocuri pe el.*	**Ψλ103:28** Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν **αὐτῇ**.	28.Acolo corăbiile umblă, balaurul acesta, pe care l-ai zidit ca să-l batjocoreşti în ea.
Ψλ103:27 πάντα πρὸς σὲ προσδοκῶσιν δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον.	*27. Toate către Tine aşteaptă ca să le dai lor hrană la bună vreme.*	**Ψλ103:29** Πάντα πρὸς σὲ **προσδοκῶσι**, δοῦναι τὴν τροφὴν **αὐτῶν εἰς** εὔκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν.	29. Toate către Tine aşteaptă ca să le dai lor hrană la bună vreme; dându-le Tu lor vor aduna.
Ψλ103:28 δόντος σου αὐτοῖς συλλέξουσιν, ἀνοίξαντος **δέ** σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος.	*28. Dându-le Tu lor vor aduna, iar deschizând Tu mâna toate se vor umplea de bunătate.*	**Ψλ103:30** Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος, ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.	30. Deschizând Tu mâna, toate se vor umplea de bunătate, iar întorcându-Ţi Tu faţa, se vor tulbura.
Ψλ103:29 ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσιν καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.	*29. Iar întorcându-Ţi Tu faţa se vor turbura; lua-vei duhul lor şi se vor sfârşi, şi în ţărâna lor se vor întoarce.*	**Ψλ103:31** Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ **ἐκλείψουσι**, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.	31. Lua-vei duhul lor şi se vor sfârşi, şi în ţărâna lor se vor întoarce.
Ψλ103:30 ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.	*30. Trimite-vei Duhul Tău, şi se vor zidi, şi se va înnoi faţa pământului.*	**Ψλ103:32** Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.	32. Trimite-vei Duhul Tău şi se vor zidi şi vei înnoi faţa pământului.
Ψλ103:31 ἤτω ἡ δόξα Κυρίου εἰς τὸν αἰῶνα, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ·	*31. Fie slava Domnului în veci, veseli-Se-va Domnul de lucrurile Sale;*	**Ψλ103:33** Ἤτω ἡ δόξα Κυρίου εἰς τὸν αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.	33. Fie slava Domnului în veac! Veseli-Se-va Domnul de lucrurile Sale.
Ψλ103:32 ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.	*32. Cel ce caută pe pământ şi-l face pe el de se cutremură, Cel ce se atinge de munţi şi fumegă.*	**Ψλ103:34** Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.	34. Cel ce caută spre pământ şi-l face pe el de se cutremură; Cel ce Se atinge de munţi şi fumegă.
Ψλ103:33 ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω·	*33. Cânta-voi Domnului în viaţa mea, cânta-voi Dumnezeului meu până ce voi fi;*	**Ψλ103:35** Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.	35. Cânta-voi Domnului în viaţa mea, cânta-voi Dumnezeului meu, până ce voi fi.
Ψλ103:34 ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.	*34. îndulcească-se Lui vorba mea, şi (iar) eu mă voi veseli de Domnul.*	**Ψλ103:36** Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.	36. Îndulcească-se Lui vorba mea, şi (iar) eu mă voi veseli de Domnul.
Ψλ103:35 ἐκλίποισαν	*35. Lipsească păcătoşii*	**Ψλ103:37** **Ἐκλίποιεν**	37. Lipsească păcătoşii

ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.	*de pe pământ şi cei fără de lege ca să nu fie ei. Binecuvântează, suflete al meu, pe Domnul!*	ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Δόξα...	de pe pământ şi cei fără de lege, ca să nu mai fie ei. Binecuvântează, suflete al meu, pe Domnul! Slavă…
ΨΑΛΜΟΣ ΡΔ΄. Αλληλουια.	*PSALMUL 104* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΔ΄. Ἀλληλούϊα.	*PSALMUL 104* *Aliluia.*
Ψλ104:1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ, ἀπαγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἔργα αὐτοῦ·	*1. Mărturisiţi-vă Domnului şi chemaţi numele Lui, vestiţi între neamuri lucrurile Lui;*	**Ψλ104:1** Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ, ἀπαγγείλατε ἐν τοῖς **ἔθνεσι** τὰ ἔργα αὐτοῦ.	1. Mărturisiţi-vă Domnului, şi chemaţi numele Lui, vestiţi între neamuri lucrurile Lui.
Ψλ104:2 ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ, διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.	*2. cântaţi-I Lui şi-L lăudaţi pe El, povestiţi toate minunile Lui.*	**Ψλ104:2** Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ, διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.	2. Cântaţi-I Lui şi-L lăudaţi pe El, povestiţi toate minunile Lui.
Ψλ104:3 ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ, εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον·	*3. Lăudaţi-vă întru numele cel sfânt al Lui, veselească-se inima celor ce caută pe Domnul;*	**Ψλ104:3** Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ, εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.	3. Lăudaţi-vă întru numele cel sfânt al Lui; veselească-se inima celor ce caută pe Domnul.
Ψλ104:4 ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε, ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός.	*4. căutaţi pe Domnul şi vă întăriţi, căutaţi faţa Lui pururea.*	**Ψλ104:4** Ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε, ζητήσατε τὸ πρόσωπον αὐτοῦ **διαπαντός**.	4. Căutaţi pe Domnul şi vă întăriţi, căutaţi faţa Lui pururea.
Ψλ104:5 μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησεν, τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ,	*5. Aduceţi-vă aminte de minunile Lui, care le-a făcut, de înfricoșatele Sale minuni şi de judecăţile gurii Lui,*	**Ψλ104:5** Μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησε, τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ,	5. Aduceţi-vă aminte de minunile Lui, pe care le-a făcut, de înfricoşările Lui şi de judecăţile gurii Lui,
Ψλ104:6 σπέρμα Αβρααμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.	*6. sămânţa lui Avraam robii Lui, fiii lui Iacov, aleşii Lui.*	**Ψλ104:6** σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.	6. sămânţa lui Avraam, robii Lui, fiii lui Iacov, aleşii Lui.
Ψλ104:7 αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.	*7. Acesta este Domnul Dumnezeul nostru, în tot pământul judecăţile Lui.*	**Ψλ104:7** Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.	7. Acesta este Domnul Dumnezeul nostru, în tot pământul judecăţile Lui.
Ψλ104:8 ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεάς,	*8. Adusu-Şi-a aminte în veac de Aşezământul Legii Lui, cuvântul, care l-a poruncit la mii de neamuri,*	**Ψλ104:8** Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεάς,	8. Adusu-Şi-a aminte în veac de Aşezământul Legii Lui, de cuvântul pe care l-a poruncit la mii de neamuri,
Ψλ104:9 ὃν διέθετο τῷ Αβρααμ, καὶ τοῦ ὅρκου	*9. care l-a aşezat lui Avraam, şi jurământul*	**Ψλ104:9** ὃν διέθετο τῷ Ἀβραάμ, καὶ τοῦ ὅρκου	9. pe care l-a aşezat lui Avraam, şi jurământul

αὐτοῦ τῷ Ισαακ	*Său lui Isaac,*	αὐτοῦ τῷ Ἰσαάκ.	Său lui Isaac.
Ψλ104:10 καὶ ἔστησεν αὐτὴν τῷ Ἰακὼβ εἰς πρόσταγμα καὶ τῷ Ἰσραὴλ διαθήκην αἰώνιον	*10. şi l-a pus pe el lui Iacov spre poruncă, şi lui Israel spre Aşezământ veşnic,*	**Ψλ104:10** Καὶ ἔστησεν **αὐτὸν** τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ διαθήκην αἰώνιον,	10. Şi l-a pus pe el lui Iacov, spre poruncă, şi lui Israel, spre Aşezământ veşnic,
Ψλ104:11 λέγων Σοὶ δώσω τὴν γῆν Χανααν σχοίνισμα κληρονομίας ὑμῶν.	*11. zicând: Ţie-ţi voi da pământul lui Hanaan, funia moştenirii voastre.*	**Ψλ104:11** λέγων· Σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ὑμῶν.	11. zicând: „Ţie-ţi voi da pământul lui Hanaan, partea moştenirii voastre”.
Ψλ104:12 ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ	*12. Când erau ei puţini la număr, împuţinaţi şi nemernici într-însul,*	**Ψλ104:12** Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.	12. Când erau ei puţini la număr, împuţinaţi şi străini (vremelnici) într-însul.
Ψλ104:13 καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, ἐκ βασιλείας εἰς λαὸν ἕτερον·	*13. şi au trecut din neam în neam, şi de la o împărăţie la alt popor;*	**Ψλ104:13** Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, ἐκ βασιλείας εἰς λαὸν ἕτερον.	13. Şi au trecut din neam în neam şi de la o împărăţie la alt popor.
Ψλ104:14 οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς	*14. nu a lăsat om să le facă lor strâmbătate şi a certat pentru dânşii împăraţi:*	**Ψλ104:14** Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς·	14. Nu a lăsat om să le facă strâmbătate şi a certat pentru dânşii împăraţi:
Ψλ104:15 Μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.	*15. Nu vă atingeţi de unşii Mei şi întru proorocii Mei nu vicleniţi.*	**Ψλ104:15** Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.	15. „Nu vă atingeţi de unşii Mei şi întru proorocii Mei nu vicleniţi”.
Ψλ104:16 καὶ ἐκάλεσεν λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν·	*16. Şi a chemat foamete pe pământ, toată întărirea pâinii o a sfărâmat;*	**Ψλ104:16** Καὶ ἐκάλεσεν λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν.	16. Şi a chemat foamete pe pământ şi toată întărirea pâinii o a sfărâmat.
Ψλ104:17 ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ιωσηφ.	*17. trimis-au înaintea lor om, rob s-a vândut Iosif.*	**Ψλ104:17** Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ.	17. Trimis-a înaintea lor om, rob s-a vândut Iosif.
Ψλ104:18 ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ	*18. Smerit-au în obezi picioarele lui, prin fier a trecut sufletul lui,*	**Ψλ104:18** Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ, μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ.	18. Smerit-au în obezi picioarele lui; prin fier au trecut sufletul lui, până ce a venit cuvântul Lui.
Ψλ104:19 μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν.	*19. până ce a venit cuvântul Lui, cuvântul Domnului l-a aprins pe el.*	**Ψλ104:19** Τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν· ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν, ἄρχων **λαοῦ**, καὶ ἀφῆκεν αὐτόν.	19. Cuvântul Domnului l-a aprins pe el; trimis-a împăratul şi l-a slobozit pe el, boierul poporului, şi l-a lăsat pe el.
Ψλ104:20 ἀπέστειλεν βασιλεὺς καὶ ἔλυσεν αὐτόν, ἄρχων λαῶν, καὶ ἀφῆκεν αὐτόν·	*20. Trimis-a împăratul şi l-a slobozit pe el, boierul poporului, şi l-a lăsat pe el;*		
Ψλ104:21 κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ καὶ ἄρχοντα πάσης τῆς κτήσεως	*21. pusu-l-a pe el domn casei lui şi boier (începător) a toată avuţia lui,*	**Ψλ104:20** Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως	20. Pusu-l-a pe el domn casei lui şi boier (începător) a toată avuţia lui,

αὐτοῦ		αὐτοῦ,	
Ψλ104:22 τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.	*22. ca să înveţe pe boierii (începătorii) lui ca pe sine însuşi, şi pe cei bătrâni ai lui să-i înţelepţească.*	**Ψλ104:21** τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.	21. ca să înveţe pe boierii (începătorii) lui ca pe sine însuşi şi pe cei bătrâni ai lui să-i înţelepţească.
Ψλ104:23 καὶ εἰσῆλθεν Ἰσραήλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χαμ·	*23. Şi a intrat Israel în Egipt, şi Iacov a nemernicit în pământul lui Ham;*	**Ψλ104:22** Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.	22. Şi a intrat Israel în Egipt şi Iacov a nemernicit (vremelnicit) în pământul lui Ham.
Ψλ104:24 καὶ ηὔξησεν τὸν λαὸν αὐτοῦ σφόδρα καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.	*24. şi l-a înmulţit pe poporul său foarte, şi l-a întărit pe el mai mult de cât pe vrăjmaşii lui.*	**Ψλ104:23** Καὶ **ηὔξησε** τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.	23. Şi l-a înmulţit pe poporul său foarte şi l-a întărit pe el mai mult decât pe vrăjmaşii lui.
Ψλ104:25 μετέστρεψεν τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.	*25. Întors-a inima lor, ca să urască pe poporul Lui, ca să viclenească întru slugile (robii) Lui.*	**Ψλ104:24** **Μετέστρεψε** τὴν καρδίαν **αὐτοῦ** τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.	24. Întors-a inima lui, ca să urască pe poporul Său, ca să viclenească întru slugile Lui.
Ψλ104:26 ἐξαπέστειλεν Μωυσῆν τὸν δοῦλον αὐτοῦ, Ααρων, ὃν ἐξελέξατο αὐτόν·	*26. Trimis-a pe Moise, sluga Sa, şi pe Aaron pe care l-a ales Luişi;*	**Ψλ104:25** Ἐξαπέστειλε Μωυσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρών, ὃν ἐξελέξατο **ἑαυτῷ**.	25. Trimis-a pe Moise, sluga Sa, şi pe Aaron, pe care l-a ales Luişi.
Ψλ104:27 ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ καὶ τῶν τεράτων ἐν γῇ Χαμ.	*27. pus-a întru dânşii cuvintele semnelor Sale, şi ale înfricoşărilor Sale în pământul lui Ham.*	**Ψλ104:26** Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων ἐν γῇ Χάμ.	26. Pus-a întru dânşii cuvintele semnelor Sale şi ale înfricoşărilor Sale în pământul lui Ham.
Ψλ104:28 ἐξαπέστειλεν σκότος, καὶ ἐσκότασεν, καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ.	*28. Trimis-a întuneric şi i-a întunecat, şi au amărât cuvintele Lui.*	**Ψλ104:27** **Ἐξαπέστειλε** σκότος καὶ ἐσκότασεν, **ὅτι** παρεπίκραναν τοὺς λόγους αὐτοῦ.	27. Trimis-a întuneric şi i-a întunecat, căci au amărât cuvintele Lui.
Ψλ104:29 μετέστρεψεν τὰ ὕδατα αὐτῶν εἰς αἷμα καὶ ἀπέκτεινεν τοὺς ἰχθύας αὐτῶν.	*29. Întors-a apele lor în sânge şi a omorât peştii lor.*	**Ψλ104:28** **Μετέστρεψε** τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ **ἀπέκτεινε** τοὺς ἰχθύας αὐτῶν.	28. Întors-a apele lor în sânge şi a omorât peştii lor.
Ψλ104:30 ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους ἐν τοῖς ταμιείοις τῶν βασιλέων αὐτῶν.	*30. Scos-a pământul lor broaşte în cămările împăraţilor lor.*	**Ψλ104:29** Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους ἐν τοῖς ταμιείοις τῶν βασιλέων αὐτῶν.	29. Scos-a pământul lor broaşte în cămările împăraţilor lor.
Ψλ104:31 εἶπεν, καὶ ἦλθεν κυνόμυια καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.	*31. Zis-a, şi a venit muscă câinească şi muşiţă în toate hotarele lor.*	**Ψλ104:30** **Εἶπε**, καὶ **ἦλθε** κυνόμυια καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.	30. Zis-a, şi a venit muscă câinească şi muşiţă în toate hotarele lor.
Ψλ108:18 καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡς ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ·	*18. Şi s-a îmbrăcat cu blestemul ca şi cu o haină, şi a intrat ca apa în măruntaiele lui, şi ca untdelemnul în oasele lui;*	**Ψλ108:17** Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν **ὡσεὶ** ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.	17. Şi s-a îmbrăcat cu blestemul ca şi cu o haină, şi a intrat ca apa în măruntaiele lui, şi ca untuldelemn în oasele lui.
Ψλ108:19 γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυται.	*19. să-i fie lui ca o haină cu care se îmbracă, şi ca un brâu cu care pururea se încinge.*	**Ψλ108:18** Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν **διαπαντὸς** περιζώννυται.	18. Să-i fie lui ca o haină cu care se îmbracă şi ca un brâu cu care pururea se încinge.
Ψλ108:20 τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.	*20. Acesta este lucrul ala celor ce Mă clevetesc pe Mine la Domnul şi al celor ce grăiesc rele (viclene) asupra sufletului Meu.*	**Ψλ108:19** Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.	19. Acesta este lucrul celor ce Mă clevetesc pe mine la Domnul şi a celor ce grăiesc rele asupra sufletului Meu.
Ψλ108:21 καὶ σύ, Κύριε Κύριε, ποίησον μετ᾽ ἐμοῦ **ἔλεος** ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου.	*21. Şi Tu, Doamne, Doamne, fă cu mine milă pentru numele Tău, că bună este mila Ta.*	**Ψλ108:20** Καὶ σύ, Κύριε Κύριε, ποίησον μετ᾽ ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου.	20. Şi Tu, Doamne, Doamne, fă cu Mine milă pentru numele Tău, că bună este mila Ta.
Ψλ108:22 ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης ἐγώ εἰμι, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.	*22. Izbăveşte-mă, că sărac şi lipsit sunt Eu, şi inima Mea S-a tulburat înlăuntrul Meu.*	**Ψλ108:21** Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμι ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.	21. Izbăveşte-mă, că sărac şi lipsit sunt Eu, şi inima Mea S-a tulburat înlăuntrul Meu.

Ψλ108:23 ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες.	*23. Ca umbra când se abate M-am pierdut, împrăştiatu-M-am ca lăcustele.*	**Ψλ108:22** Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες.	22. Ca umbra când se abate M-am pierdut, împrăştiatu-M-am ca lăcustele.
Ψλ108:24 τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.	*24. Genunchii Mei au slăbit de post, şi carnea Mea s-a schimbat pentru untdelemn.*	**Ψλ108:23** Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.	23. Genunchii Mei au slăbit de post şi carnea Mea s-a schimbat pentru untdelemn.
Ψλ108:25 καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.	*25. Şi Eu M-am făcut ocară lor; văzutu-M-au, clătit-au capetele lor.*	**Ψλ108:24** **Κἀγὼ** ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.	24. Şi Eu M-am făcut ocară lor, văzutu-M-au, clătinat-au capetele lor.
Ψλ108:26 βοήθησόν μοι, Κύριε ὁ Θεός μου, σῶσόν με κατὰ τὸ ἔλεός σου,	*26. Ajută-Mi Mie, Doamne, Dumnezeul Meu, mântuieşte-mă după mila Ta,*	**Ψλ108:25** Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, **καὶ** σῶσόν με κατὰ τὸ ἔλεός σου.	25. Ajută-Mi Mie, Doamne, Dumnezeul Meu; şi mă mântuieşte după mila Ta.
Ψλ108:27 καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη καὶ σύ, Κύριε, ἐποίησας αὐτήν.	*27. şi să cunoască, că mâna Ta este aceasta, şi Tu, Doamne, o ai făcut pe dânsa.*	**Ψλ108:26** Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σύ, Κύριε, ἐποίησας αὐτήν.	26. Şi să cunoască că mâna Ta este aceasta, şi Tu, Doamne, o ai făcut pe ea.
Ψλ108:28 καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστανόμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.	*28. Blestema-vor ei, şi Tu vei binecuvânta; cei ce se scoală asupra Mea, să se ruşineze; iar sluga Ta se va veseli.*	**Ψλ108:27** Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ **ἐπανιστάμενοί** μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.	27. Blestema-vor ei, şi Tu vei binecuvânta; cei ce se scoală asupra Mea să se ruşineze, iar sluga Ta se va veseli.
Ψλ108:29 ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν καὶ περιβαλέσθωσαν ὡσεὶ διπλοίδα αἰσχύνην αὐτῶν.	*29. Îmbracă-se cei ce mă clevetesc pe Mine în ocară şi să se învelească ca şi cu un veşmânt cu ruşinea lor.*	**Ψλ108:28** Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν, καὶ περιβαλέσθωσαν **ὡς διπλοΐδα** αἰσχύνην αὐτῶν.	28. Îmbracă-se cu ocară cei ce mă clevetesc pe Mine şi să se învelească ca şi cu un veşmânt cu ruşinea lor.
Ψλ108:30 ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν,	*30. Mărturisi-Mă-voi Domnului foarte cu gura Mea, şi în mijlocul multora Îl voi lăuda pe El,*	**Ψλ108:29** Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.	29. Mărturisi-Mă-voi Domnului foarte cu gura Mea şi în mijlocul multora Îl voi lăuda pe El.
Ψλ108:31 ὅτι παρέστη ἐκ δεξιῶν πένητος τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.	*31. că a stat de-a dreapta celui lipsit ca să mântuiască din cei ce gonesc sufletul Meu.*	**Ψλ108:30** Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. Δόξα...	30. Că a stat de-a dreapta celui lipsit, ca să Mă mântuiască de cei ce gonesc sufletul Meu. Slavă…

		ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ ΕΚΤΟΝ	Catisma a şaisprezecea
ΨΑΛΜΟΣ ΡΘ΄. Τῷ Δαυῒδ ψαλμός.	*PSALMUL 10* *Al lui David psalm.*	ΨΑΛΜΟΣ ΡΘ΄. Ψαλμὸς τῷ Δαυῒδ.	*PSALMUL 109* *Psalm a lui David.*
Ψλ109:1 Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.	*1. Zis-a Domnul, Domnului meu: Şezi de-a dreapta Mea, până ce voi pune pe vrăjmaşii Tăi aşternut picioarelor Tale.*	**Ψλ109:1** Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.	1. Zis-a Domnul Domnului meu: Şezi de-a dreapta Mea, până ce voi pune pe vrăjmaşii Tăi aşternut picioarelor Tale.
Ψλ109:2 ῥάβδον δυνάμεώς **σου** ἐξαποστελεῖ Κύριος ἐκ Σιων, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.	*2. Toiagul puterii Tale va trimite Domnul din Sion, şi stăpâneşte în mijlocul vrăjmaşilor Tăi.*	**Ψλ109:2** Ῥάβδον δυνάμεώς ἐξαποστελεῖ **σοι** Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.	2. Toiagul puterii va trimite Ţie Domnul din Sion, şi stăpâneşte în mijlocul vrăjmaşilor Tăi.
Ψλ109:3 μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησιν τῶν ἁγίων· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε.	*3. Cu Tine este începătoria în ziua puterii Tale, întru strălucirile sfinţilor; din pântece mai înainte de luceafăr Te-am născut.*	**Ψλ109:3** Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς **λαμπρότησι** τῶν ἁγίων **σου**.	3. Cu Tine este începătoria în ziua puterii Tale, întru strălucirile sfinţilor Tăi.
Ψλ109:4 ὤμοσεν Κύριος καὶ οὐ μεταμεληθήσεται Σὺ **εἶ** ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδεκ.	*4. Juratu-S-a Domnul şi nu-I va părea rău: Tu eşti preot în veac după rânduiala lui Melchisedec.*	**Ψλ109:4** Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε. **Ὤμοσε** Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.	4. Din pântecele mai-nainte de luceafăr Te-am născut. Juratu-S-a Domnul şi nu-I va părea rău (nu Se va căi): Tu eşti preot în veac după rânduiala lui Melchisedec.
Ψλ109:5 Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς·	*5. Domnul este de-a dreapta Ta, sfărâmat-a în ziua mâniei (urgiei) Sale împăraţi;*	**Ψλ109:5** Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.	5. Domnul este de-a dreapta Ta, sfărâmat-a în ziua mâniei (urgiei) Sale împăraţi.
Ψλ109:6 κρινεῖ ἐν τοῖς ἔθνεσιν, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.	*6. judeca-va între neamuri, plini-va căderile, zdrobi-va capetele pe pământ ale multora.*	**Ψλ109:6** Κρινεῖ ἐν τοῖς **ἔθνεσι**, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.	6. Judeca-va întru neamuri, plini-va căderile, zdrobi-va capetele multora de pe pământ.
Ψλ109:7 ἐκ χειμάρρου ἐν ὁδῷ πίεται· διὰ τοῦτο ὑψώσει κεφαλήν.	*7. Din pârâu în cale va bea; pentru aceasta va înălţa capul.*	**Ψλ109:7** Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.	7. Din pârâu pe cale va bea, pentru aceasta va înălţa capul.
ΨΑΛΜΟΣ ΡΙ΄. Αλληλουια.	*PSALMUL 110* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΙ΄. Ἀλληλούϊα.	*PSALMUL 110* *Aliluia.*
Ψλ110:1 Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ	*1. Mărturisi-mă-voi Ţie, Doamne, cu toată inima mea în sfatul celor*	**Ψλ110:1** Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ	1. Mărturisi-mă-voi Ţie, Doamne, cu toată inima mea, în sfatul drepţilor

μου ἐν βουλῇ εὐθείων καὶ συναγωγῇ.	*drepţi şi în adunare.*	μου, ἐν βουλῇ εὐθείων καὶ συναγωγῇ.	şi în adunare.
Ψλ110:2 μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ·	*2. Mari sunt lucrurile Domnului, dovedite întru toate voile Lui;*	**Ψλ110:2** Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.	2. Mari sunt lucrurile Domnului, dovedite întru toate voile Lui.
Ψλ110:3 ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*3. mărturisire şi mare-cuviinţă este lucrul Lui, şi dreptatea Lui rămâne în veacul veacului.*	**Ψλ110:3** Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	3. Mărturisire şi mare-cuviinţă este lucrul Lui, şi dreptatea Lui rămâne în veacul veacului.
Ψλ110:4 μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ, ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος·	*4. Pomenire a făcut minunilor Sale, milostivul şi înduratul Domnul;*	**Ψλ110:4** Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ, ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος.	4. Pomenire a făcut minunilor Sale, milostiv şi îndurat (este) Domnul.
Ψλ110:5 τροφὴν ἔδωκεν τοῖς φοβουμένοις αὐτόν, μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.	*5. hrană au dat celor ce se tem de Dânsul, aduce-Şi-va aminte în veac de Aşezământul de lege al Său.*	**Ψλ110:5** Τροφὴν **ἔδωκε** τοῖς φοβουμένοις αὐτόν, μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.	5. Hrană a dat celor ce se tem de Dânsul, aduce-Şi-va aminte în veac de Aşezământul de Lege al Său.
Ψλ110:6 ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλεν τῷ λαῷ αὐτοῦ τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.	*6. Tăria lucrurilor Sale o a vestit poporului Său, ca să le dea lor moştenirea neamurilor.*	**Ψλ110:6** Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλεν τῷ λαῷ αὐτοῦ, τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.	6. Tăria lucrurilor Sale o a vestit poporului Său, ca să le dea lor moştenirea neamurilor.
Ψλ110:7 ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις· πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ,	*7. Lucrurile mâinilor Lui, adevărul şi judecata; credincioase toate poruncile Lui,*	**Ψλ110:7** Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις· πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ.	7. Lucrurile mâinilor Lui, adevărul şi judecata; credincioase toate poruncile Lui.
Ψλ110:8 ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.	*8. Întărite în veacul veacului, făcute întru adevăr şi întru îndreptare.*	**Ψλ110:8** Ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.	8. Întărite în veacul veacului, făcute întru adevăr şi întru dreptate.
Ψλ110:9 λύτρωσιν ἀπέστειλεν τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.	*9. Izbăvire a trimis poporului Său; poruncit-a în veac Aşezământul de lege al Său; Sfânt şi înfricoşat este numele Lui.*	**Ψλ110:9** Λύτρωσιν **ἀπέστειλε** τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.	9. Izbăvire a trimis poporului Său, poruncit-a în veac Aşezământul de Lege al Său; Sfânt şi înfricoşător este numele Lui.
Ψλ110:10 ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*10. Începutul înţelepciunii este frica Domnului, şi înţelegere bună este tuturor celor ce o fac pe dânsa. Lauda Lui rămâne în veacul veacului.*	**Ψλ110:10** Ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις **δὲ** ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	10. Începutul înţelepciunii este frica Domnului, iar înţelegerea (priceperea) este bună tuturor celor ce o fac pe dânsa; lauda Lui rămâne în veacul veacului.

ΨΑΛΜΟΣ ΡΙΑ΄. Αλληλουια.	*PSALMUL 111 Aliluia*	ΨΑΛΜΟΣ ΡΙΑ΄. Ἀλληλούϊα.	*PSALMUL 111 Aliluia.*
Ψλ111:1 Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα·	*1. Fericit bărbatul care se teme de Domnul, întru poruncile Lui va voi foarte.*	**Ψλ111:1** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.	1. Fericit bărbatul care se teme de Domnul, întru poruncile Lui va voi foarte.
Ψλ111:2 δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθείων εὐλογηθήσεται·	*2.Puternică pe pământ va fi sămânţa lui, neamul drepţilor se va binecuvânta;*	**Ψλ111:2** Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ **εὐθέων** εὐλογηθήσεται.	2. Puternică pe pământ va fi seminţia lui; neamul drepţilor se va binecuvânta.
Ψλ111:3 δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*3. slavă şi bogăţie în casa lui; şi dreptatea lui rămâne în veacul veacului.*	**Ψλ111:3** Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	3. Slavă şi bogăţie în casa lui, şi dreptatea lui rămâne în veac.
Ψλ111:4 ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.	*4. Răsărit-a întru întuneric lumină dreptului, Cel milostiv şi îndurat şi drept.*	**Ψλ111:4** Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν· ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.	4. Răsărit-a întru întuneric lumină drepţilor; Cel milostiv şi îndurat şi drept.
Ψλ111:5 χρηστὸς ἀνὴρ ὁ οἰκτίρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει·	*5. Bun este bărbatul care se îndură şi împrumută, tocmi-va cuvintele sale în judecată;*	**Ψλ111:5** Χρηστὸς ἀνὴρ ὁ οἰκτίρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει.	5. Bun este bărbatul care se îndură şi împrumută, tocmi-va cuvintele sale în judecată.
Ψλ111:6 ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται, εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.	*6. că în veac nu se va clătina, întru pomenire veşnică va fi dreptul.*	**Ψλ111:6** Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται, εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.	6. Că în veac nu se va clătina, întru pomenire veşnică va fi dreptul.
Ψλ111:7 ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται· ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον.	*7. De auzul rău nu se va teme; gata este inima lui a nădăjdui spre Domnul.*	**Ψλ111:7** Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται· ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον.	7. De auzul rău nu se va teme; gata este inima lui a nădăjdui în Domnul.
Ψλ111:8 ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ	*8. Întăritu-s-a inima lui, nu se va teme, până ce va privi asupra vrăjmaşilor săi,*	**Ψλ111:8** Ἐστήρικται ἡ καρδία αὐτοῦ· οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.	8. Întăritu-s-a inima lui; nu se va teme, până ce va privi asupra vrăjmaşilor săi.
Ψλ111:9 ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.	*9. împrăştiat-a, dat-a săracilor, dreptatea lui rămâne în veacul veacului, cornul lui se va înălţa întru slavă.*	**Ψλ111:9** Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.	9. Împrăştiat-a, dat-a săracilor, dreptatea lui rămâne în veacul veacului, cornul lui se va înălţa întru slavă.
Ψλ111:10 ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται· ἐπιθυμία	*10. Păcătosul va vedea şi se va mânia, cu dinţii săi va scrâşni şi se va topi; pofta păcătoşilor va pieri.*	**Ψλ111:10** Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται· ἐπιθυμία	10. Păcătosul va vedea şi se va mânia, cu dinţii săi va scrâşni şi se va topi; pofta păcătosului va pieri.

ἁμαρτωλῶν ἀπολεῖται.		**ἁμαρτωλοῦ** ἀπολεῖται. Δόξα...	Slavă…
ΨΑΛΜΟΣ ΡΙΒ΄. Αλληλουια.	*PSALMUL 112* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΙΒ΄. Ἀλληλούϊα	*PSALMUL 112* *Aliluia.*
Ψλ112:1 Αἰνεῖτε, παῖδες, Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου·	*1. Lăudaţi tineri pe Domnul, lăudaţi numele Domnului;*	**Ψλ112:1** Αἰνεῖτε, παῖδες, Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου.	1. Lăudaţi tineri pe Domnul, lăudaţi numele Domnului.
Ψλ112:2 εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος·	*2. fie numele Domnului binecuvântat de acum şi până în veac.*	**Ψλ112:2** Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.	2. Fie numele Domnului binecuvântat de acum şi până în veac.
Ψλ112:3 ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνεῖτε τὸ ὄνομα Κυρίου.	*3. De la răsăriturile soarelui până la apusuri, lăudat este numele Domnului.*	**Ψλ112:3** Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν **αἰνετὸν** τὸ ὄνομα Κυρίου.	3. De la răsăriturile soarelui până la apusuri lăudat este numele Domnului.
Ψλ112:4 ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.	*4. Înalt este peste toate neamurile Domnul, peste ceruri este slava Lui.*	**Ψλ112:4** Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.	4. Înalt este peste toate neamurile Domnul, peste ceruri slava Lui.
Ψλ112:5 τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν	*5. Cine este ca Domnul Dumnezeul nostru Cel ce locuieşte întru cele înalte*	**Ψλ112:5** Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.	5. Cine este ca Domnul Dumnezeul nostru? Cel ce locuieşte întru cele înalte şi spre cele smerite priveşte, în cer şi pe pământ.
Ψλ112:6 καὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ;	*6. şi spre cele smerite priveşte, în cer şi pe pământ?*		
Ψλ112:7 ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα	*7. Cel ce scoală de la pământ pe cel sărac şi din gunoi înalţă pe cel lipsit,*	**Ψλ112:6** Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα,	6. Cel ce ridică de la pământ pe cel sărac şi din gunoi înalţă pe cel lipsit,
Ψλ112:8 τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ·	*8. ca să-l aşeze pe el cu boierii (începătorii), cu începătorii poporului Său;*	**Ψλ112:7** τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.	7. ca să-l aşeze pe el cu stăpânitorii (începătorii), cu stăpânitorii poporului Său.
Ψλ112:9 ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ μητέρα τέκνων εὐφραινομένην.	*9. Cel ce face a locui cea stearpă în casă, maica ce se veseleşte de feciori.*	**Ψλ112:8** Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα **ἐπὶ τέκνοις** εὐφραινομένην.	8. Cel ce face a locui cea stearpă în casă, maica ce se veseleşte de feciori.
ΨΑΛΜΟΣ ΡΙΓ΄. Αλληλουια.	*PSALMUL 113* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΙΓ΄. Ἀλληλούϊα.	*PSALMUL 113* *Aliluia.*
Ψλ113:1 Ἐν ἐξόδῳ Ἰσραήλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ	*1. Întru ieşirea lui Israel din Egipt, a casei lui Iacov din popor barbar,*	**Ψλ113:1** Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ	1. Întru ieşirea lui Israel din Egipt, a casei lui Iacov din popor barbar,

βαρβάρου		βαρβάρου,	
Ψλ113:2 ἐγενήθη Ιουδαία ἁγίασμα αὐτοῦ, Ἰσραήλ ἐξουσία αὐτοῦ.	*2. făcutu-s-a Iudeea sfinţirea Lui, Israel stăpânirea Lui.*	**Ψλ113:2** ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.	2. făcutu-s-a Iudeea sfinţirea Lui, Israel, stăpânirea Lui.
Ψλ113:3 ἡ θάλασσα εἶδεν καὶ ἔφυγεν, ὁ Ιορδάνης ἐστράφη εἰς τὰ ὀπίσω·	*3. Marea a văzut şi a fugit, Iordanul s-a întors înapoi;*	**Ψλ113:3** Ἡ θάλασσα **εἶδε** καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.	3. Marea a văzut şi a fugit, Iordanul s-a întors înapoi.
Ψλ113:4 τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.	*4. munţii au săltat ca berbecii şi dealurile ca mieii oilor.*	**Ψλ113:4** Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.	4. Munţii au săltat ca berbecii, şi dealurile, ca mieii oilor.
Ψλ113:5 τί σοί ἐστιν, θάλασσα, ὅτι ἔφυγες, καὶ σοί, Ιορδάνη, ὅτι ἀνεχώρησας εἰς τὰ ὀπίσω;	*5. Ce-ţi este ţie, mare, că ai fugit, şi ţie Iordane, că te-ai întors înapoi?*	**Ψλ113:5** Τί σοί **ἐστι**, θάλασσα, ὅτι ἔφυγες; καὶ **σύ**, Ἰορδάνη, ὅτι ἀνεχώρησας εἰς τὰ ὀπίσω;	5. Ce este ţie, mare, că ai fugit? Şi tu, Iordane, că te-ai întors înapoi?
Ψλ113:6 τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;	*6. Munţi că aţi săltat ca berbecii, şi dealurile ca mieii oilor?*	**Ψλ113:6** Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;	6. Munţilor, că aţi săltat ca berbecii, şi dealurilor, ca mieii oilor?
Ψλ113:7 ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακὼβ	*7. De faţa Domnului s-a clătinat pământul, de faţa Dumnezeului lui Iacov,*	**Ψλ113:7** Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ,	7. De faţa Domnului s-a clătinat pământul, de faţa Dumnezeului lui Iacov,
Ψλ113:8 τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.	*8. a Celui ce a întors piatra în iezere de ape, şi cea vârtoasă în izvoare de ape.*	**Ψλ113:8** τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.	8. a Celui ce a întors piatra în iezere de ape, şi cea vârtoasă în izvoare de ape.
Ψλ113:9 μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου,	*9. Nu nouă, Doamne, nu nouă, ci numelui Tău dă slavă, pentru (pe) mila Ta şi adevărul Tău,*	**Ψλ113:9** Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου.	9. Nu nouă, Doamne, nu nouă, ci numelui Tău dă slavă, pentru mila Ta şi adevărul Tău.
Ψλ113:10 μήποτε εἴπωσιν τὰ ἔθνη Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;	*10. ca nu cândva să zică neamurile: Unde este Dumnezeul lor?*	**Ψλ113:10** Μήποτε **εἴπωσι** τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;	10. Ca nu cândva să zică neamurile: Unde este Dumnezeul lor?
Ψλ113:11 ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ **ἄνω· ἐν τοῖς οὐρανοῖς** καὶ ἐν τῇ γῇ πάντα, ὅσα ἠθέλησεν, ἐποίησεν.	*11. Iar Dumnezeul nostru în cer sus; în cer şi pe pământ toate, câte a vrut, a făcut.*	**Ψλ113:11** Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· πάντα, ὅσα ἠθέλησεν, **ἐποίησε**.	11. Iar Dumnezeul nostru, în cer şi pe pământ; toate câte a vrut a făcut.
Ψλ113:12 τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·	*12. Idolii neamurilor, argint şi aur, lucruri de mâini omeneşti.*	**Ψλ113:12** Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.	12. Idolii neamurilor, argint şi aur, lucruri de mâini omeneşti.
Ψλ113:13 στόμα ἔχουσιν καὶ οὐ	*13. Gură au şi nu vor grăi, ochi au şi nu vor*	**Ψλ113:13** Στόμα **ἔχουσι** καὶ οὐ λαλήσουσιν,	13. Gură au, şi nu vor grăi; ochi au şi nu vor

λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσιν καὶ οὐκ ὄψονται,	*vedea,*	ὀφθαλμοὺς **ἔχουσι** καὶ οὐκ ὄψονται.	vedea.
Ψλ113:14 ὦτα ἔχουσιν καὶ οὐκ ἀκούσονται, ῥῖνας ἔχουσιν καὶ οὐκ ὀσφρανθήσονται,	*14. urechi au şi nu vor auzi, nări au şi nu vor mirosi,*	Ψλ113:14 Ὦτα **ἔχουσι** καὶ οὐκ ἀκούσονται, ῥῖνας **ἔχουσι** καὶ οὐκ ὀσφρανθήσονται.	14. Urechi au, şi nu vor auzi: nări au, şi nu vor mirosi.
Ψλ113:15 χεῖρας ἔχουσιν καὶ οὐ ψηλαφήσουσιν, πόδας ἔχουσιν καὶ οὐ περιπατήσουσιν, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.	*15. mâini au şi nu vor pipăi, picioare au şi nu vor umbla, nu vor glăsui cu gâtlejul lor.*	Ψλ113:15 Χεῖρας **ἔχουσι** καὶ οὐ **ψηλαφήσουσι**, πόδας **ἔχουσι** καὶ οὐ περιπατήσουσιν, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.	15. Mâini au, şi nu vor pipăi; picioare au, şi nu vor umbla; nu vor glăsui cu gâtlejul lor.
Ψλ113:16 ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.	*16. Asemenea lor să fie cei ce-i fac pe ei şi toţi cei ce se încred spre dânşii.*	Ψλ113:16 Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.	16. Asemenea lor să fie cei ce-i fac ei şi toţi cei ce nădăjduiesc (se încred) spre dânşii.
Ψλ113:17 οἶκος Ἰσραήλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς **αὐτῶν** καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.	*17. Casa lui Israel a nădăjduit spre Domnul; ajutorul lor şi scutitorul (apărătorul cu scutul) lor este.*	Ψλ113:17 Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.	17. Casa lui Israel a nădăjduit spre Domnul; ajutorul şi apărătorul lor este.
Ψλ113:18 οἶκος Ααρων ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς **αὐτῶν** καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.	*18. Casa lui Aaron a nădăjduit spre Domnul; ajutorul lor şi scutitorul lor este.*	Ψλ113:18 Οἶκος ᾿Ααρὼν ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.	18. Casa lui Aaron a nădăjduit spre Domnul; ajutorul şi apărătorul lor este.
Ψλ113:19 οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· βοηθὸς **αὐτῶν** καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.	*19. Cei ce se tem de Domnul au nădăjduit spre Domnul; ajutorul lor şi scutitorul lor este.*	Ψλ113:19 Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν **ἐστι**.	19. Cei ce se tem de Domnul au nădăjduit spre Domnul; ajutorul şi apărătorul lor este.
Ψλ113:20 Κύριος ἐμνήσθη ἡμῶν **καὶ** εὐλόγησεν ἡμᾶς, εὐλόγησεν τὸν οἶκον Ἰσραήλ, εὐλόγησεν τὸν οἶκον Ααρων,	*20. Domnul ne-a pomenit pe noi şi ne-a binecuvântat, a binecuvântat casa lui Israel, a binecuvântat casa lui Aaron,*	Ψλ113:20 Κύριος **μνησθεὶς** ἡμῶν εὐλόγησεν ἡμᾶς· **εὐλόγησε** τὸν οἶκον Ἰσραήλ, **εὐλόγησε** τὸν οἶκον Ἀαρών.	20. Domnul, pomenindu-ne pe noi, ne-a binecuvântat; a binecuvântat casa lui Israel, a binecuvântat casa lui Aaron.
Ψλ113:21 εὐλόγησεν τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.	*21. A binecuvântat pe cei ce se tem de Domnul, pe cei mici cu cei mari.*	Ψλ113:21 **Εὐλόγησε** τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.	21. Binecuvântat-a pe cei ce se tem de Domnul, pe cei mici cu cei mari.
Ψλ113:22 προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν·	*22. Adaugă Domnul spre voi, spre voi şi spre fiii voştri;*	Ψλ113:22 Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.	22. Adaugă Domnul spre noi, spre noi şi spre fiii noştri.
Ψλ113:23 εὐλογημένοι	*23. binecuvântaţi sunteţi*	Ψλ113:23 Εὐλογημένοι	23. Binecuvântaţi

ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.	*voi Domnului, Celui ce a făcut cerul şi pământul.*	ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.	sunteţi voi de Domnul, Cel ce a făcut cerul şi pământul.
Ψλ113:24 ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκεν τοῖς υἱοῖς τῶν ἀνθρώπων.	*24. Cerul cerului Domnului, iar pământul l-a dat fiilor oamenilor.*	**Ψλ113:24** Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν **ἔδωκε** τοῖς υἱοῖς τῶν ἀνθρώπων.	24. Cerul cerului Domnului, iar pământul l-a dat fiilor oamenilor.
Ψλ113:25 οὐχ οἱ νεκροὶ αἰνέσουσίν σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου,	*25. Nu cei morţi Te vor lăuda pe Tine, Doamne, nici toţi cei ce se pogoară în iad,*	**Ψλ113:25** Οὐχ οἱ νεκροὶ **αἰνέσουσί** σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου.	25. Nu cei morţi Te vor lăuda pe Tine, Doamne, nici toţi cei ce se pogoară în iad.
Ψλ113:26 ἀλλ’ ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.	*26. ci noi cei vii bine vom cuvânta pe Domnul de acum şi până în veac.*	**Ψλ113:26** Ἀλλ’ ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.	26. Ci noi, cei vii, vom binecuvânta pe Domnul de acum şi până în veac.
ΨΑΛΜΟΣ ΡΙΔ΄. Αλληλουια.	*PSALMUL 114* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΙΔ΄. Ἀλληλούϊα.	*PSALMUL 114* *Aliluia.*
Ψλ114:1 Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου,	*1. Iubit-am, că a auzit Domnul glasul rugăciunii (cererii) mele,*	**Ψλ114:1** Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.	1. Iubit-am, că va auzi (a auzit) Domnul glasul rugăciunii (cererii) mele.
Ψλ114:2 ὅτι ἔκλινεν τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.	*2. că a plecat urechea Sa mie, şi în zilele mele Îl voi chema.*	**Ψλ114:2** Ὅτι **ἔκλινε** τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.	2. Că a plecat urechea Sa spre mine, şi în zilele mele Îl voi chema.
Ψλ114:3 περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με· θλῖψιν καὶ ὀδύνην εὗρον.	*3. Cuprinsu-m-au durerile morţii, primejdiile iadului m-au aflat; necaz şi durere am aflat.*	**Ψλ114:3** Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με.	3. Cuprinsu-m-au durerile morţii, primejdiile iadului m-au aflat.
Ψλ114:4 καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.	*4. Şi numele Domnului am chemat: O, Doamne, izbăveşte sufletul meu!*	**Ψλ114:4** Θλῖψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην· Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.	4. Necaz şi durere am aflat, şi numele Domnului am chemat: O, Doamne, izbăveşte sufletul meu.
Ψλ114:5 ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεᾷ.	*5. Milostiv este Domnul şi drept, şi Dumnezeul nostru miluieşte.*	**Ψλ114:5** Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν **ἐλεεῖ**.	5. Milostiv este Domnul şi drept şi Dumnezeul nostru miluieşte.
Ψλ114:6 φυλάσσων τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην, καὶ ἔσωσέν με.	*6. Cel ce păzeşte pe prunci Domnul; smeritu-m-am şi m-am mântuit.*	**Ψλ114:6** Φυλάσσων τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην, καὶ **ἔσωσέ** με.	6. Cel ce păzeşte pe prunci Domnul; smeritu-m-am şi m-am mântuit.
Ψλ114:7 ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέν σε,	*7. Întoarce-te suflete al meu, la odihna ta, că Domnul bine a făcut ţie,*	**Ψλ114:7** Ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος **εὐηργέτησέ** σε.	7. Întoarce-te, suflete al meu, la odihna ta, că Domnul bine a făcut ţie.
Ψλ114:8 ὅτι ἐξείλατο τὴν ψυχήν μου ἐκ	*8. că a scos sufletul meu din moarte, ochii mei*	**Ψλ114:8** Ὅτι ἐξείλατο τὴν ψυχήν μου ἐκ	8. Că a scos sufletul meu din moarte, ochii

θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.	*din lacrămi şi picioarele mele din alunecare.*	θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.	mei din lacrimi şi picioarele mele din alunecare.
Ψλ114:9 εὐαρεστήσω ἐναντίον Κυρίου ἐν χώρᾳ ζώντων.	*9. Bine-voi plăcea înaintea Domnului în latura celor vii.*	**Ψλ114:9** Εὐαρεστήσω **ἐνώπιον** Κυρίου ἐν χώρᾳ ζώντων. Δόξα...	9. Bine voi plăcea înaintea Domnului în latura celor vii. Slavă…
ΨΑΛΜΟΣ ΡΙΕ΄. Αλληλουια.	*PSALMUL 115* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΙΕ΄. Ἀλληλούϊα.	*PSALMUL 115* *Aliluia.*
Ψλ115:1 Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.	*1. Crezut-am, pentru aceea am grăit, iar eu m-am smerit foarte.*	**Ψλ115:1** Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.	1. Crezut-am, pentru aceea am grăit; iar eu m-am smerit foarte.
Ψλ115:2 ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου Πᾶς ἄνθρωπος ψεύστης.	*2. Eu am zis întru uimirea mea: Tot omul este mincinos.*	**Ψλ115:2** Ἐγὼ **δὲ** εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.	2. Şi am zis întru uimirea mea: Tot omul este mincinos.
Ψλ115:3 τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέν μοι;	*3. Ce voi răsplăti Domnului pentru toate, care mi-a răsplătit mie?*	**Ψλ115:3** Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν **ἀνταπέδωκέ** μοι;	3. Ce voi răsplăti Domnului, pentru toate câte mi-a răsplătit mie?
Ψλ115:4 ποτήριον σωτηρίου λήμψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.	*4. Paharul mântuirii voi lua şi numele Domnului voi chema.*	**Ψλ115:4** Ποτήριον σωτηρίου λήμψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.	4. Paharul mântuirii voi lua, şi numele Domnului voi chema.
Ψλ115:5 τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ	*5. Rugăciunile mele Domnului voi da înaintea a tot poporului Lui.*	**Ψλ115:5** Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.	5. Rugăciunile mele Domnului voi da înaintea a tot poporul Lui.
Ψλ115:6 τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.	*6. Scumpă (Cinstită) este înaintea Domnului moartea cuvioşilor Lui.*	**Ψλ115:6** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.	6. Scumpă (Cinstită) este înaintea Domnului moartea cuvioşilor Lui.
Ψλ115:7 ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. διέρρηξας τοὺς δεσμούς μου,	*7. O, Doamne, eu robul Tău, eu robul Tău şi fiul roabei Tale. Rumpt-ai legăturile mele,*	**Ψλ115:7** Ὦ Κύριε, ἐγὼ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου· διέρρηξας τοὺς δεσμούς μου.	7. O, Doamne, eu, robul tău; eu, robul Tău şi fiul roabei Tale; rupt-ai legăturile mele.
Ψλ115:8 σοὶ θύσω θυσίαν αἰνέσεως·	*8. Ţie voi jertfi jertfă de laudă;*	**Ψλ115:8** Σοὶ θύσω θυσίαν αἰνέσεως, **καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.**	8. Ţie voi jertfi jertfă de laudă, şi întru numele Domnului voi chema.
Ψλ115:9 τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ	*9. rugăciunile mele Domnului voi da înaintea a tot poporul Lui,*	**Ψλ115:9** Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ	9. Rugăciunile mele Domnului voi da înaintea a tot poporul Lui, în curţile casei Domnului, în mijlocul
Ψλ115:10 ἐν αὐλαῖς	*10. în curţile casei*		

οἴκου Κυρίου ἐν μέσῳ σου, Ιερουσαλημ.	*Domnului, în mijlocul tău, Ierusalime.*	σου, Ἰερουσαλήμ.	tău, Ierusalime.
ΨΑΛΜΟΣ ΡΙΣΤ΄. Αλληλουια.	*PSALMUL 116 Aliluia.*	ΨΑΛΜΟΣ ΡΙΣΤ΄. Ἀλληλούϊα.	*PSALMUL 116 Aliluia.*
Ψλ116:1 Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί,	*1. Lăudaţi pe Domnul, toate neamurile, lăudaţi-L pe El toate popoarele,*	**Ψλ116:1** Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.	1. Lăudaţi pe Domnul, toate neamurile, lăudaţi-L pe El toate popoarele.
Ψλ116:2 ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.	*2. că s-a întărit mila Lui peste noi, şi adevărul Domnului rămâne în veac.*	**Ψλ116:2** Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.	2. Că s-a întărit mila Lui peste noi, şi adevărul Domnului rămâne în veac.
ΨΑΛΜΟΣ ΡΙΖ΄. Αλληλουια.	*PSALMUL 117*	ΨΑΛΜΟΣ ΡΙΖ΄. Ἀλληλούϊα.	*PSALMUL 117 Aliluia.*
Ψλ117:1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	*1. Mărturisiţi-vă Domnului, că este bun, că în veac este mila Lui.*	**Ψλ117:1** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	1. Mărturisiţi-vă Domnului, că e bun, că în veac este mila Lui.
Ψλ117:2 εἰπάτω δὴ οἶκος Ἰσραήλ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*2. Zică dar casa lui Israel că este bun, că în veac este mila Lui;*	**Ψλ117:2** Εἰπάτω δὴ οἶκος Ἰσραήλ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	2. Zică dar casa lui Israel că este bun, că în veac e mila Lui.
Ψλ117:3 εἰπάτω δὴ οἶκος Ααρων ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*3. zică dar casa lui Aaron că este bun, că în veac este mila Lui;*	**Ψλ117:3** Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	3. Zică dar casa lui Aaron că este bun, că în veac e mila Lui.
Ψλ117:4 εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	*4. zică toţi cei ce se tem de Domnul că este bun, că în veac este mila Lui.*	**Ψλ117:4** Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	4. Zică toţi cei ce se tem de Domnul că este bun, că în veac e mila Lui.
Ψλ117:5 ἐν θλίψει ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέν μου εἰς πλατυσμόν.	*5. Din necaz am chemat pe Domnul, şi m-a auzit întru desfătare.*	**Ψλ117:5** **Ἐκ θλίψεως** ἐπεκαλεσάμην τὸν Κύριον, καὶ **ἐπήκουσέ** μου εἰς πλατυσμόν.	5. Din necaz am chemat pe Domnul şi m-a auzit întru desfătare.
Ψλ117:6 Κύριος ἐμοὶ βοηθός, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.	*6. Domnul este mie ajutor, şi nu mă voi teme ce-mi va face mie omul.*	**Ψλ117:6** Κύριος ἐμοὶ βοηθός, **καὶ** οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.	6. Domnul este mie ajutor, şi nu mă voi teme (de) ce-mi va face mie omul.
Ψλ117:7 Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.	*7. Domnul este mie ajutor, şi eu voi privi asupra vrăjmaşilor mei.*	**Ψλ117:7** Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.	7. Domnul este mie ajutor, şi eu voi privi asupra vrăjmaşilor mei.
Ψλ117:8 ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον ἢ	*8. Bine este a nădăjdui spre Domnul, decât a*	**Ψλ117:8** Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον,	8. Bine este a nădăjdui spre Domnul, decât a

πεποιθέναι ἐπ᾽ ἄνθρωπον·	*nădăjdui spre om;*	ἢ πεποιθέναι ἐπ᾽ ἄνθρωπον.	nădăjdui spre om.
Ψλ117:9 ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον ἢ ἐλπίζειν ἐπ᾽ ἄρχοντας.	*9. bine este a nădăjdui spre Domnul, decât a nădăjdui spre boieri.*	**Ψλ117:9** Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ᾽ **ἄρχουσι**.	9. Bine este a nădăjdui spre Domnul, decât a nădăjdui spre boieri.
Ψλ117:10 πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς·	*10. Toate neamurile m-au înconjurat, şi întru numele Domnului i-am înfrânt pe ei;*	**Ψλ117:10** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.	10. Înconjuratu-m-au toate neamurile, şi întru numele Domnului i-am înfrânt pe ei.
Ψλ117:11 κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς·	*11. înconjurând m-au înconjurat, şi întru numele Domnului i-am înfrânt pe ei;*	**Ψλ117:11** Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.	11. Înconjurând, m-au înconjurat, şi întru numele Domnului i-am înfrânt pe ei.
Ψλ117:12 ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον καὶ ἐξεκαύθησαν ὡσεὶ πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.	*12. înconjuratu-m-au ca albinele fagurul şi s-au aprins ca focul în spini, şi întru numele Domnului i-am înfrânt pe ei.*	**Ψλ117:12** Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν **ὡς** πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.	12. Înconjuratu-m-au ca albinele fagurul, şi s-au aprins ca focul în spini, şi întru numele Domnului i-am înfrânt pe ei.
Ψλ117:13 ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου.	*13. Împins fiind, m-am povârnit să cad, şi Domnul m-a sprijinit.*	**Ψλ117:13** Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου.	13. Împins fiind, m-am povârnit să cad, şi Domnul m-a sprijinit.
Ψλ117:14 ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος καὶ ἐγένετό μοι εἰς σωτηρίαν.	*14. Tăria mea şi lauda mea este Domnul, şi S-au făcut mie spre mântuire.*	**Ψλ117:14** Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν.	14. Tăria mea şi lauda mea este Domnul, şi S-a făcut mie spre mântuire.
Ψλ117:15 φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων Δεξιὰ Κυρίου ἐποίησεν δύναμιν,	*15. Glas de bucurie şi de mântuire în corturile drepţilor: Dreapta Domnului a făcut putere,*	**Ψλ117:15** Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.	15. Glas de bucurie şi de mântuire în corturile drepţilor.
Ψλ117:16 δεξιὰ Κυρίου ὕψωσέν με, δεξιὰ Κυρίου ἐποίησεν δύναμιν.	*16. dreapta Domnului m-a înălţat, dreapta Domnului a făcut putere.*	**Ψλ117:16** Δεξιὰ Κυρίου **ἐποίησε** δύναμιν, δεξιὰ Κυρίου **ὕψωσέ** με, δεξιὰ Κυρίου **ἐποίησε** δύναμιν.	16. Dreapta Domnul a făcut putere, dreapta Domnului m-a înălţat, dreapta Domnului a făcut putere.
Ψλ117:17 οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι καὶ ἐκδιηγήσομαι τὰ ἔργα Κυρίου.	*17. Nu voi muri, ci voi fi viu şi voi povesti lucrurile Domnului.*	**Ψλ117:17** Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ **διηγήσομαι** τὰ ἔργα Κυρίου.	17. Nu voi muri, ci voi fi viu şi voi povesti lucrurile Domnului.
Ψλ117:18 παιδεύων ἐπαίδευσέν με ὁ Κύριος καὶ τῷ θανάτῳ οὐ παρέδωκέν με.	*18. Certând, m-a certat Domnul şi morţii nu m-a dat.*	**Ψλ117:18** Παιδεύων **ἐπαίδευσέ** με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ **παρέδωκέ** με.	18. Certând, m-a certat Domnul, şi morţii nu m-a dat.
Ψλ117:19 ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς	*19. Deschideţi mie porţile dreptăţii; intrând într-însele, mă voi*	**Ψλ117:19** Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς	19. Deschideţi mie porţile (uşile) dreptăţii; intrând într-însele mă

ἐξομολογήσομαι τῷ Κυρίῳ.	*mărturisi Domnului.*	ἐξομολογήσομαι τῷ Κυρίῳ.	voi mărturisi Domnului.
Ψλ117:20 αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.	*20. Aceasta este poarta Domnului, drepţii vor intra într-însa.*	**Ψλ117:20** Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.	20. Aceasta este poarta (uşa) Domnului, drepţii vor intra într-însa.
Ψλ117:21 ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν.	*21. Mărturisi-mă-voi Ţie, că m-ai auzit şi Te-ai făcut mie spre mântuire.*	**Ψλ117:21** Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.	21. Mărturisi-mă-voi Ţie, că m-ai auzit, şi Te-ai făcut mie spre mântuire.
Ψλ117:22 λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·	*22. Piatra, care n-au socotit-o ziditorii, aceasta s-a făcut în capul unghiului;*	**Ψλ117:22** Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.	22. Piatra pe care n-au băgat-o în seamă ziditorii, aceasta s-a făcut în capul unghiului.
Ψλ117:23 παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.	*23. de la Domnul s-a făcut aceasta, şi este minunată întru ochii noştri.*	**Ψλ117:23** Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ **ἔστι** θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.	23. De la Domnul s-a făcut aceasta, şi este minunată întru ochii noştri.
Ψλ117:24 αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.	*24. Aceasta este ziua pe care a făcut-o Domnul; să ne bucurăm şi să ne veselim într-însa.*	**Ψλ117:24** Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.	24. Aceasta este ziua pe care a făcut-o Domnul; să ne bucurăm şi să ne veselim întru ea.
Ψλ117:25 ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή.	*25. O, Doamne, mântuieşte! O, Doamne, bine-sporeşte!*	**Ψλ117:25** Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή.	25. O, Doamne, mântuieşte! O, Doamne, bine-sporeşte!
Ψλ117:26 εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.	*26. Bine este cuvântat Cel ce vine întru numele Domnului; binecuvântatu-v-am pe voi din casa Domnului.*	**Ψλ117:26** Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.	26. Bine este cuvântat Cel ce vine întru numele Domnului; binecuvântatu-v-am pe voi din casa Domnului.
Ψλ117:27 Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.	*27. Dumnezeu este Domnul şi s-a arătat nouă; tocmiţi sărbătoare întru îngrămădire până la cornurile Altarului.*	**Ψλ117:27** Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.	27. Dumnezeu este Domnul, şi S-a arătat nouă; tocmiţi sărbătoare întru împodobire cu cele frumoase, până la cornurile jertfelnicului.
Ψλ117:28 Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σύ, καὶ ὑψώσω σε· ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν.	*28. Dumnezeul meu eşti Tu, şi mă voi mărturisi Ţie; Dumnezeul meu eşti Tu, şi Te voi înălţa, mărturisi-mă-voi Ţie, că m-ai auzit şi Te-ai făcut mie spre mântuire.*	**Ψλ117:28** Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σύ, καὶ ὑψώσω σε. **Ψλ117:29** Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.	28. Dumnezeul meu eşti Tu, şi mă voi mărturisi Ţie; Dumnezeul meu eşti Tu, şi Te voi înălţa. 29. Mărturisi-mă-voi Ţie, că m-ai auzit, şi Te-ai făcut mie spre mântuire.
Ψλ117:29 ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι	*29. Mărturisiţi-vă Domnului că este bun, că în veac este mila Lui.*	**Ψλ117:30** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι	30. Mărturisiţi-vă Domnului, că este bun, că în veac este mila Lui.

εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.		εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Δόξα...	Slavă…
		ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟΝ ΕΒΔΟΜΟΝ	Catisma a şaptesprezecea
ΨΑΛΜΟΣ ΡΙΗ΄. Αλληλουια.	*PSALMUL 118* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΙΗ΄. Ἀλληλούϊα.	*PSALMUL 118* *Aliluia.*
Ψλ118:1 Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.	*1. Fericiţi cei fără prihană în cale, care umblă în legea Domnului.*	**Ψλ118:1** Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.	1. Fericiţi cei fără de prihană în cale, care umblă în legea Domnului.
Ψλ118:2 μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.	*2. Fericiţi cei ce cearcă mărturiile Lui, cu toată inima Îl vor căuta pe Dânsul.*	**Ψλ118:2** Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.	2. Fericiţi cei ce cearcă mărturiile Lui, cu toată inima Îl vor căuta pe Dânsul.
Ψλ118:3 οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.	*3. Că nu cei ce lucrează fărădelegea în căile Lui au umblat.*	**Ψλ118:3** Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.	3. Că nu cei ce lucrează fărădelegea au umblat în căile Lui.
Ψλ118:4 σὺ ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα.	*4. Tu ai poruncit poruncile Tale ca să le păzească foarte.*	**Ψλ118:4** Σὺ ἐνετείλω τὰς ἐντολάς σου, φυλάξασθαι σφόδρα.	4. Tu ai poruncit poruncile Tale ca să le păzească foarte.
Ψλ118:5 ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.	*5. O, de s-ar îndrepta căile mele, ca să păzească îndreptările Tale.*	**Ψλ118:5** Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.	5. O, de s-ar îndrepta căile mele, ca să păzesc îndreptările Tale!
Ψλ118:6 τότε οὐ μὴ ἐπαισχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.	*6. Atunci nu mă voi ruşina, când voi căuta spre toate poruncile Tale.*	**Ψλ118:6** Τότε οὐ μὴ **αἰσχυνθῶ**, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.	6. Atunci nu mă voi ruşina, când voi căuta spre toate poruncile Tale.
Ψλ118:7 ἐξομολογήσομαί σοι, Κύριε, ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.	*7. Mărturisi-mă-voi Ţie, Doamne, întru îndreptarea inimii, întru învăţarea judecăţilor dreptăţii Tale.*	**Ψλ118:7** Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.	7. Mărturisi-mă-voi Ţie întru îndreptarea inimii, întru învăţarea judecăţilor dreptăţii Tale.
Ψλ118:8 τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα.	*8. Îndreptările Tale voi păzi; nu mă părăsi până în sfârşit.*	**Ψλ118:8** Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.	8. Îndreptările Tale voi păzi, nu mă părăsi foarte.
Ψλ118:9 Ἐν τίνι κατορθώσει ὁ νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάσσεσθαι τοὺς λόγους σου.	*9. Întru ce îşi va îndrepta tânărul calea sa? Întru păzirea cuvintele Tale.*	**Ψλ118:9** Ἐν τίνι κατορθώσει ὁ νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ **φυλάξασθαι** τοὺς λόγους σου.	9. Întru ce îşi va îndrepta tânărul calea sa? Întru păzirea cuvintelor Tale.

Ψλ118:10 ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.	*10. Cu toată inima mea Te-am căutat pe Tine, să nu mă lepezi de la poruncile Tale.*	**Ψλ118:10** Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.	10. Cu toată inima Te-am căutat pe Tine, să nu mă lepezi de la poruncile Tale.
Ψλ118:11 ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.	*11. Întru inima mea am ascuns cuvintele Tale, ca să nu greşesc (păcătuiesc) Ţie.*	**Ψλ118:11** Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.	11. Întru inima mea am ascuns cuvintele Tale, ca să nu greşesc Ţie.
Ψλ118:12 εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.	*12. Bine eşti cuvântat Doamne, învaţă-mă îndreptările Tale.*	**Ψλ118:12** Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.	12. Binecuvântat eşti, Doamne, învaţă-mă îndreptările Tale.
Ψλ118:13 ἐν τοῖς χείλεσίν μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.	*13. Cu buzele mele am vestit toate judecăţile gurii Tale.*	**Ψλ118:13** Ἐν τοῖς χείλεσίν μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.	13. Cu buzele mele am vestit toate judecăţile gurii Tale.
Ψλ118:14 ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ.	*14. În calea mărturiilor Tale m-am desfătat, ca întru toată bogăţia.*	**Ψλ118:14** Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.	14. În calea mărturiilor Tale m-am desfătat, ca pentru toată bogăţia.
Ψλ134:7 ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν· ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.	*7. ridicând nori de la marginea pământului, fulgerele spre ploaie le-a făcut; Cel ce scoate vânturile din vistieriile Sale.*	**Ψλ134:7** Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν· ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.	7. Ridicând nori de la marginea pământului, fulgerele spre ploaie le-a făcut; Cel ce scoate vânturile din vistieriile Sale.
Ψλ134:8 ὃς ἐπάταξεν τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους·	*8. Care a bătut cel întâi născuţi ale Egiptului, de la om până la dobitoc;*	**Ψλ134:8** Ὃς **ἐπάταξε** τὰ πρωτότοκα Αἰγύπτου, ἀπὸ ἀνθρώπου ἕως κτήνους.	8. Care a bătut pe cei întâi născuţi ai Egiptului, de la om până la dobitoc.
Ψλ134:9 ἐξαπέστειλεν σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε, ἐν Φαραω καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.	*9. trimis-a semne şi minuni în mijlocul tău, Egipte, întru Faraon şi întru toate slugile lui.*	**Ψλ134:9** **Ἐξαπέστειλε** σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε, ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.	9. Trimis-a semne şi minuni (înfricoşătoare) în mijlocul tău, Egipte, întru Faraon şi întru toate slugile lui.
Ψλ134:10 ὃς ἐπάταξεν ἔθνη πολλὰ καὶ ἀπέκτεινεν βασιλεῖς κραταιούς,	*10. Care a bătut neamuri multe şi a ucis împăraţi tari,*	**Ψλ134:10** Ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ **ἀπέκτεινε** βασιλεῖς κραταιούς.	10. Care a bătut neamuri multe, şi a ucis împăraţi tari.
Ψλ134:11 τὸν Σηων βασιλέα τῶν Αμορραίων καὶ τὸν Ωγ βασιλέα τῆς Βασαν καὶ πάσας τὰς βασιλείας Χαναan,	*11. pe Sion împăratul Amoreilor şi pe Og împăratul Vasanului şi toate împărăţiile lui Hanaan,*	**Ψλ134:11** Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν καὶ πάσας τὰς βασιλείας Χαναὰν.	11. Pe Sion, împăratul Amoreilor şi pe Og, împăratul Vasanului şi toate împărăţiile lui Hanaan.
Ψλ134:12 καὶ ἔδωκεν τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραήλ λαῷ αὐτοῦ.	*12. Şi a dat pământul lor moştenire, moştenire lui Israel poporului Său.*	**Ψλ134:12** Καὶ **ἔδωκε** τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραήλ λαῷ αὐτοῦ.	12. Şi a dat pământul lor moştenire, moştenire lui Israel, poporului Său.
Ψλ134:13 Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα Κύριε, τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.	*13. Doamne, numele Tău este în veac Doamne, pomenirea Ta în neam şi în neam.*	**Ψλ134:13** Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.	13. Doamne, numele Tău este în veac, şi pomenirea Ta în neam şi în neam.
Ψλ134:14 ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.	*14. Că va judeca Domnul pe poporul Său şi spre slugile Sale se va umili (îndura).*	**Ψλ134:14** Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.	14. Că va judeca Domnul pe poporul Său, şi spre (pe) slugile Sale se va milostivi (le va mângâia).
Ψλ134:15 τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν	*15. Idolii neamurilor, argint şi aur, lucruri de mâini omeneşti;*	**Ψλ134:15** Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν	15. Idolii neamurilor, argint şi aur, lucruri de mâini omeneşti.

ἀνθρώπων·		ἀνθρώπων.	
Ψλ134:16 στόμα ἔχουσιν καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσιν καὶ οὐκ ὄψονται,	*16. gură au şi nu vor grăi, ochi au şi nu vor vedea,*	**Ψλ134:16** Στόμα **ἔχουσι** καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς **ἔχουσι** καὶ οὐκ ὄψονται.	16. Gură au şi nu vor grăi, ochi au şi nu vor vedea.
Ψλ134:17 ὦτα ἔχουσιν καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ ἐστιν πνεῦμα ἐν τῷ στόματι αὐτῶν.	*17. urechi au şi nu vor auzi, că nici nu este duh în gura lor.*	**Ψλ134:17** Ὦτα **ἔχουσι** καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ **ἐστι** πνεῦμα ἐν τῷ στόματι αὐτῶν.	17. Urechi au şi nu vor auzi, că nici nu este duh în gura lor.
Ψλ134:18 ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.	*18. Asemenea lor să fie cei ce fac acestea şi toţi cei ce nădăjduiesc (se încred) într-înşii.*	**Ψλ134:18** Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.	18. Asemenea lor să fie cei ce fac acestea, şi toţi cei ce nădăjduiesc (se încred) într-înşii.
Ψλ134:19 οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ααρων, εὐλογήσατε τὸν Κύριον·	*19. Casa lui Israel, binecuvântaţi pe Domnul! Casa lui Aaron, binecuvântaţi pe Domnul!*	**Ψλ134:19** Οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ἀαρών, εὐλογήσατε τὸν Κύριον· οἶκος Λευΐ, εὐλογήσατε τὸν Κύριον.	19. Casa lui Israel, binecuvântaţi pe Domnul; casa lui Aaron, binecuvântaţi pe Domnul; casa lui Levi, binecuvântaţi pe Domnul.
Ψλ134:20 οἶκος Λευι, εὐλογήσατε τὸν Κύριον· οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.	*20. Casa lui Levi, binecuvântaţi pe Domnul! Cei ce vă temeţi de Domnul, binecuvântaţi pe Domnul!*	**Ψλ134:20** Οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.	20. Cei ce vă temeţi de Domnul, binecuvântaţi pe Domnul.
Ψλ134:21 εὐλογητὸς Κύριος ἐκ Σιων ὁ κατοικῶν Ιερουσαλημ.	*21. Bine este cuvântat Domnul din Sion, Cel ce locuieşte în Ierusalim.*	**Ψλ134:21** Εὐλογητὸς Κύριος ἐκ Σιών, ὁ κατοικῶν Ἰερουσαλήμ.	21. Bine este cuvântat Domnul din Sion, Cel ce locuieşte în Ierusalim.
ΨΑΛΜΟΣ ΡΛΕ΄. Αλληλουια.	*PSALMUL 135* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΛΕ΄. Ἀλληλούϊα.	*PSALMUL 135* *Aliluia.*
Ψλ135:1 Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*1. Mărturisiţi-vă Domnului că este bun, că în veac este mila Lui;*	**Ψλ135:1** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι **ἀγαθός**, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	1. Mărturisiţi-vă Domnului, că este bun, că în veac este mila Lui.
Ψλ135:2 ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*2. mărturisiţi-vă Dumnezeului dumnezeilor, că în veac este mila Lui;*	**Ψλ135:2** Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	2. Mărturisiţi-vă Dumnezeului dumnezeilor, că în veac e mila Lui.
Ψλ135:3 ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*3. mărturisiţi-vă Domnului domnilor, că în veac este mila Lui;*	**Ψλ135:3** Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	3. Mărturisiţi-vă Domnului domnilor, că în veac e mila Lui.
Ψλ135:4 τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ,	*4. Celui ce face minuni mari Unuia, că în veac*	**Ψλ135:4** Τῷ **ποιήσαντι** θαυμάσια μεγάλα μόνῳ,	4. Celui ce a făcut minuni mari, Unuia, că

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*este mila Lui;*	ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	în veac e mila Lui.
Ψλ135:5 τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*5. Celui ce a făcut cerurile cu pricepere, că în veac este mila Lui;*	**Ψλ135:5** Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	5. Celui ce a făcut cerurile cu pricepere, că în veac e mila Lui.
Ψλ135:6 τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*6. Celui ce a întărit pământul peste ape, că în veac este mila Lui;*	**Ψλ135:6** Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	6. Celui ce a întărit pământul peste ape, că în veac e mila Lui.
Ψλ135:7 τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*7. Celui ce a făcut luminători mari, Unuia, că în veac este mila Lui;*	**Ψλ135:7** Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	7. Celui ce a făcut luminători mari, Unuia, că în veac e mila Lui;
Ψλ135:8 τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*8. soarele spre stăpânirea zilei, că în veac este mila Lui;*	**Ψλ135:8** Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	8. Soarele spre stăpânirea zilei, că în veac e mila Lui.
Ψλ135:9 τὴν σελήνην καὶ τὰ ἄστρα εἰς ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*9. luna şi stelele spre stăpânirea nopţii, că în veac este mila Lui;*	**Ψλ135:9** Τὴν σελήνην καὶ **τοὺς ἀστέρας** εἰς ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	9. Luna şi stelele spre stăpânirea nopţii, că în veac e mila Lui.
Ψλ135:10 τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*10. Celui ce au bătut Egiptul cu cei întâi-născuţi ai lor, că în veac este mila Lui,*	**Ψλ135:10** Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	10. Celui ce a bătut Egiptul cu cei întâi-născuţi ai lor, că în veac e mila Lui.
Ψλ135:11 καὶ ἐξαγαγόντι τὸν Ἰσραήλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*11. şi au scos pe Israel din mijlocul lor, că în veac este mila Lui,*	**Ψλ135:11** Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	11. Şi a scos pe Israel din mijlocul lor, că în veac e mila Lui.
Ψλ135:12 ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*12. cu mână tare şi cu braţ înalt, că în veac este mila Lui;*	**Ψλ135:12** Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	12. Cu mână tare şi cu braţ înalt, că în veac e mila Lui.
Ψλ135:13 τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*13. Celui ce a despărţit Marea Roşie întru despărţituri, că în veac este mila Lui,*	**Ψλ135:13** Τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	13. Celui ce a despărţit Marea Roşie în despărţituri, că în veac e mila Lui.
Ψλ135:14 καὶ διαγαγόντι τὸν Ἰσραήλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*14. şi a trecut pe Israel prin mijlocul ei, că în veac este mila Lui,*	**Ψλ135:14** Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	14. Şi a trecut pe Israel prin mijlocul ei, că în veac e mila Lui.
Ψλ135:15 καὶ ἐκτινάξαντι Φαραω καὶ τὴν δύναμιν αὐτοῦ εἰς	*15. şi a scuturat pe Faraon şi puterea lui în Marea Roşie, că în veac*	**Ψλ135:15** Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς	15. Şi a scuturat pe Faraon şi puterea lui în Marea Roşie, că în veac

θάλασσαν ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*este mila Lui;*	θάλασσαν Ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	e mila Lui.
Ψλ135:16 τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*16. Celui ce a trecut pe poporul Lui prin pustie, că în veac este mila Lui;*	**Ψλ135:16** Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	16. Celui ce a trecut pe poporul Său prin pustie, că în veac e mila Lui.
Ψλ135:17 τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*17. Celui ce au bătut împăraţi mari, că în veac este mila Lui,*	**Ψλ135:17** Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	17. Celui ce a bătut împăraţi mari, că în veac e mila Lui.
Ψλ135:18 καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*18. şi a omorât împăraţi tari, că în veac este mila Lui,*	**Ψλ135:18** Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	18. Şi a omorât împăraţi tari, că în veac e mila Lui.
Ψλ135:19 τὸν Σηων βασιλέα τῶν Αμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*19. Pe Sion împăratul Amoreilor, că în veac este mila Lui;*	**Ψλ135:19** Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	19. Pe Sion, împăratul Amoreilor, că în veac e mila Lui.
Ψλ135:20 καὶ τὸν Ωγ βασιλέα τῆς Βασαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*20. şi pe Og împăratul Vasanului, că în veac este mila Lui,*	**Ψλ135:20** Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	20. Şi pe Og, împăratul Vasanului, că în veac e mila Lui.
Ψλ135:21 καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*21. Şi le-a dat pământul lor moştenire, că în veac este mila Lui,*	**Ψλ135:21** Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	21. Şi le-a dat pământul lor moştenire; că în veac e mila Lui.
Ψλ135:22 κληρονομίαν Ἰσραήλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	*22. moştenire lui Israel slugii Sale, că în veac este mila Lui.*	**Ψλ135:22** Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	22. Moştenire lui Israel, slugii Sale; că în veac e mila Lui.
Ψλ135:23 ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,	*23. Că întru smerenia noastră ne-a pomenit pe noi Domnul, că în veac este mila Lui,*	**Ψλ135:23** Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	23. Că întru smerenia noastră ne-a pomenit pe noi Domnul, că în veac e mila Lui.
Ψλ135:24 καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*24. şi ne-a izbăvit pe noi de vrăjmaşii noştri, că în veac este mila Lui;*	**Ψλ135:24** Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	24. Şi ne-a izbăvit pe noi de vrăjmaşii noştri, că în veac e mila Lui.
Ψλ135:25 ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	*25. Cel ce dă hrană la tot trupul, că în veac este mila Lui.*	**Ψλ135:25** Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	25. Cel ce dă hrană la tot trupul, că în veac e mila Lui.
Ψλ135:26 ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·	*26. Mărturisiţi-vă Dumnezeului ceresc (cerului), că în veac este mila Lui; mărturisiţi-vă*	**Ψλ135:26** Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	26. Mărturisiţi-vă Dumnezeului ceresc (cerului), că în veac e mila Lui.

ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.	*Domnului domnilor, că în veac este mila Lui.*		
ΨΑΛΜΟΣ ΡΛΣΤ΄. Τῷ Δαυΐδ.	*PSALMUL 136* *Al lui David.*	ΨΑΛΜΟΣ ΡΛΣΤ΄. Τῷ Δαυΐδ διὰ Ἰερεμίου.	*PSALMUL 136* *A lui David pentru Ieremia.*
Ψλ136:1 Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιων.	*1. La râurile Babilonului, acolo am şezut şi am plâns, când ne-am adus noi aminte de Sion.*	**Ψλ136:1** Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.	1. La râurile Babilonului, acolo am şezut şi am plâns, când ne-am adus aminte de Sion.
Ψλ136:2 ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν·	*2. În sălcii, în mijlocul lor, am spânzurat organele noastre;*	**Ψλ136:2** Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.	2. În sălcii, în mijlocul lor, am spânzurat organele noastre.
Ψλ136:3 ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιων.	*3. că acolo ne-au întrebat pe noi, cei ce ne-au robit pe noi, cuvinte de cântări, şi cei ce ne-au dus pe noi: Cântare cântaţi nouă din cântările Sionului.*	**Ψλ136:3** Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον· Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.	3. Că acolo ne-au întrebat pe noi, cei ce ne-au robit pe noi, cuvinte de cântări, şi cei ce ne-au dus (depărtat) pe noi: Cântare cântaţi nouă din cântările Sionului.
Ψλ136:4 πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;	*4. Cum vom cânta cântarea Domnului în pământ străin?*	**Ψλ136:4** Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;	4. Cum vom cânta cântarea Domnului în pământ străin?
Ψλ136:5 ἐὰν ἐπιλάθωμαί σου, Ιερουσαλημ, ἐπιλησθείη ἡ δεξιά μου·	*5. De te voi uita Ierusalime, uitată să fie dreapta mea;*	**Ψλ136:5** Ἐὰν ἐπιλάθωμαί σου, Ἰερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου.	5. De te voi uita, Ierusalime, uitată să fie dreapta mea.
Ψλ136:6 κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ιερουσαλημ ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.	*6. să se lipească limba mea de grumazul meu, de nu-mi voi aduce aminte de tine, de nu voi pune înainte Ierusalimul, ca întru începutul veseliei mele.*	**Ψλ136:6** Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ἰερουσαλὴμ ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.	6. Să se lipească limba mea de grumazul meu de nu-mi voi aduce aminte de tine, de nu voi punea înainte Ierusalimul, ca întru începutul veseliei mele.
Ψλ136:7 μνήσθητι, Κύριε, τῶν υἱῶν Εδωμ τὴν ἡμέραν Ιερουσαλημ τῶν λεγόντων Ἐκκενοῦτε ἐκκενοῦτε, ἕως ὁ θεμέλιος ἐν αὐτῇ.	*7. Adu-Ţi aminte Doamne, de fiii lui Edom, în ziua Ierusalimului, care ziceau: Stricaţi-l, stricaţi-l până la temeliile lui!*	**Ψλ136:7** Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδώμ, τὴν ἡμέραν Ἰερουσαλήμ, τῶν λεγόντων· Ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως ὁ **θεμελίων αὐτῆς**.	7. Adu-Ţi aminte, Doamne, de fiii lui Edom, în ziua Ierusalimului, care ziceau: Stricaţi-l, stricaţi-l, până la temeliile lui!
Ψλ136:8 θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος	*8. Fiica Babilonului ticăloasă, fericit este cel ce va răsplăti ţie*	**Ψλ136:8** Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος	8. Fiica Babilonului, ticăloasa, fericit cel ce va răsplăti ţie răsplătirea

ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀντ απέδωκας ἡμῖν· **Ψλ136:9** μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.	*răsplătirea ta, care ai răsplătit nouă;* *9. fericit este care va apuca şi va lovi pruncii tăi de piatră.*	ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. **Ψλ136:9** Μακάριος, ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. Δόξα...	ta, cu care ai răsplătit nouă. 9. Fericit care va apuca şi va lovi pruncii tăi de piatră. Slavă…
ΨΑΛΜΟΣ ΡΛΖ΄. Τῷ Δαυῒδ.	*PSALMUL 137* *A lui David.*	ΨΑΛΜΟΣ ΡΛΖ΄. Ψαλμὸς τῷ Δαυῒδ, Ἀγγαίου καὶ Ζαχαρίου.	*PSALMUL 137* *Psalm a lui David, Agheu şi Zaharia.*
Ψλ137:1 Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, ὅτι ἤκουσας τὰ ῥήματα τοῦ στόματός μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι. **Ψλ137:2** προσκυνήσω πρὸς ναὸν ἅγιόν σου καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν ὄνομα τὸ λόγιόν σου. **Ψλ137:3** ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου· πολυωρήσεις με ἐν ψυχῇ μου ἐν δυνάμει. **Ψλ137:4** ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου, **Ψλ137:5** καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου, **Ψλ137:6** ὅτι ὑψηλὸς Κύριος καὶ τὰ ταπεινὰ ἐφορᾷ καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. **Ψλ137:7** ἐὰν πορευθῶ	*1. Mărturisi-mă-voi Ţie, Doamne, cu toată inima mea, că ai auzit toate graiurile gurii mele, şi înaintea îngerilor voi cânta Ţie.* *2. Închina-mă-voi către Biserica Ta cea sfântă şi mă voi mărturisi numelui Tău, întru (pe) mila Ta şi adevărul Tău, că ai mărit peste tot numele cel sfânt al Tău.* *3. În orice zi Te voi chema, degrab mă auzi; înmulţi-mă-vei în sufletul meu cu puterea.* *4. Mărturisească-se Ţie, Doamne, toţi împăraţii pământului, că au auzit toate graiurile gurii Tale,* *5. şi să cânte întru căile Domnului, că mare este slava Domnului.* *6. Că înalt este Domnul, şi la cele smerite priveşte, şi cele înalte de departe le cunoaşte.* *7. De voi merge în*	**Ψλ137:1** Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι, ὅτι ἤκουσας τὰ ῥήματα τοῦ στόματός μου. **Ψλ137:2** Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ λόγιόν σου. **Ψλ137:3** Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου· πολυωρήσεις με ἐν ψυχῇ μου ἐν δυνάμει **σου**. **Ψλ137:4** Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. **Ψλ137:5** Καὶ ᾀσάτωσαν ἐν ταῖς **ᾠδαῖς** Κυρίου, ὅτι μεγάλη ἡ δόξα Κυρίου. **Ψλ137:6** Ὅτι ὑψηλὸς Κύριος καὶ τὰ ταπεινὰ ἐφορᾷ καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. **Ψλ137:7** Ἐὰν πορευθῶ	1. Mărturisi-mă-voi Ţie, Doamne, cu toată inima mea, şi înaintea îngerilor voi cânta Ţie, că ai auzit toate graiurile gurii mele. 2. Închina-mă-voi către Biserica Ta cea sfântă şi mă voi mărturisi numelui Tău, întru (pe) mila Ta şi adevărul Tău, că ai mărit peste tot numele cel sfânt al Tău. 3. În orice zi Te voi chema, degrab mă auzi; înmulţi-mă-vei în sufletul meu cu puterea Ta. 4. Mărturisească-se Ţie, Doamne, toţi împăraţii pământului, că au auzit toate graiurile gurii Tale. 5. Şi să cânte întru cântările Domnului, că mare este slava Domnului. 6. Că înalt este Domnul şi la cele smerite priveşte, şi cele înalte de departe le cunoaşte. 7. De voi merge în

ἐν μέσῳ θλίψεως, ζήσεις με· ἐπ’ ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖρά σου, καὶ ἔσωσέν με ἡ δεξιά σου.	*mijlocul necazului, mă vei via; peste mânia vrăjmaşilor mei întins-ai mâinile Tale şi m-a mântuit dreapta Ta.*	ἐν μέσῳ θλίψεως, ζήσεις με· ἐπ’ ὀργὴν ἐχθρῶν μου ἐξέτεινας **χεῖράς** σου, καὶ **ἔσωσέ** με ἡ δεξιά σου.	mijlocul necazului, mă vei via; peste mânia vrăjmaşilor mei ai întins mâinile Tale, şi m-a mântuit dreapta Ta.
Ψλ137:8 Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρῇς.	*8. Domnul va răsplăti pentru mine. Doamne, mila Ta este în veac, lucrurile mâinilor Tale nu le trece cu vederea.*	**Ψλ137:8** Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ **παρίδῃς**.	8. Domnul va răsplăti pentru mine. Doamne, mila Ta este în veac, lucrurile mâinilor Tale nu le trece cu vederea.
ΨΑΛΜΟΣ ΡΛΗ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 138 Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΡΛΗ΄. Εἰς τὸ τέλος· τῷ Δαυΐδ, ψαλμὸς Ζαχαρίου ἐν τῇ διασπορᾷ.	*PSALMUL 138 Întru sfârşit; a lui David, psalm lui Zaharia întru risipire.*
Ψλ138:1 Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με·	*1. Doamne, cercatu-m-ai şi m-ai cunoscut;*	**Ψλ138:1** Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με. Σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου, σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν.	1. Doamne, cercatu-m-ai şi m-ai cunoscut, Tu ai cunoscut şederea şi scularea mea, Tu ai priceput gândurile mele de departe.
Ψλ138:2 σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου, σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν·	*2 Tu ai cunoscut şederea mea şi scularea mea, Tu ai priceput gândurile mele de departe;*		
Ψλ138:3 τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας καὶ πάσας τὰς ὁδούς μου προεῖδες.	*3. cărarea mea şi funia mea Tu le-ai iscodit, şi toate căile mele mai înainte le-ai văzut.*	**Ψλ138:2** Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες, ὅτι οὐκ **ἔστι δόλος** ἐν γλώσσῃ μου.	2. Cărarea mea şi funia mea Tu le-ai cercetat, şi toate căile mele mai-nainte le-ai văzut, că nu este vicleşug în limba mea.
Ψλ138:4 ὅτι οὐκ ἔστιν λόγος ἐν γλώσσῃ μου,	*4. Că nu este cuvânt în limba mea,*		
Ψλ138:5 ἰδού, Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα· σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ’ ἐμὲ τὴν χεῖρά σου.	*5. iată, Doamne, Tu ai cunoscut toate cele de pe urmă şi cele de demult (din început); Tu m-ai zidit şi ai pus peste mine mâna Ta.*	**Ψλ138:3** Ἰδού, Κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα, σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ’ ἐμὲ τὴν χεῖρά σου.	3. Iată, Doamne, Tu ai cunoscut toate cele de pe urmă şi cele de demult (din început), Tu m-ai zidit şi ai pus peste mine mâna Ta.
Ψλ138:6 ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.	*6. Minunată s-a făcut cunoştinţa Ta de către (din) mine, întăritu-s-a, nu voi putea spre dânsa.*	**Ψλ138:4** Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.	4. Minunată s-a făcut cunoştinţa Ta din mine, întăritu-s-a, nu voi putea spre dânsa.
Ψλ138:7 ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;	*7. Unde mă voi duce de la Duhul Tău? Şi de la Faţa Ta unde voi fugi?*	**Ψλ138:5** Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;	5. Unde mă voi duce de la Duhul Tău? Şi de la Faţa Ta unde voi fugi?
Ψλ138:8 ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ εἶ ἐκεῖ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει·	*8. De mă voi sui în cer, Tu acolo eşti; de mă voi pogorî în iad, de faţă eşti;*	**Ψλ138:6** Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.	6. De mă voi sui în cer, Tu acolo eşti; de mă voi pogorî în iad, de faţă eşti.
Ψλ138:9 ἐὰν	*9. de voi lua aripile*	**Ψλ138:7** Ἐὰν	7. De voi lua aripile

ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ᾿ ὄρθρον καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης,	*mele de dimineaţă şi mă voi sălăşlui la marginile mării,*	ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ᾿ ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης,	mele de dimineaţă şi mă voi sălăşlui la marginile mării,
Ψλ138:10 καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.	*10. că şi acolo mâna Ta mă va povăţui şi mă va ţine dreapta Ta.*	**Ψλ138:8** καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.	8. că şi acolo mâna Ta mă va povăţui, şi mă va ţine dreapta Ta.
Ψλ138:11 καὶ εἶπα Ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου·	*11. Şi am zis: Aşa dar întunericul mă va acoperi, şi noaptea este luminare întru desfătarea mea;*	**Ψλ138:9** Καὶ εἶπα· Ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.	9. Şi am zis: Aşa dar întunericul mă va acoperi, şi noaptea este luminare întru desfătarea mea.
Ψλ138:12 ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.	*12. că întunericul nu se va întuneca de la Tine, şi noaptea ca ziua se va lumina; precum este întunericul ei, aşa şi lumina ei.*	**Ψλ138:10** Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.	10. Că întunericul nu se va întuneca pentru (de) Tine, şi noaptea ca ziua se va lumina; precum este întunericul ei, aşa este şi lumina ei.
Ψλ138:13 ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.	*13. Că Tu ai zidit rărunchii mei, Doamne, sprijinitu-m-ai din pântecele maicii mele.*	**Ψλ138:11** Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, Κύριε, ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.	11. Că Tu ai zidit rărunchii mei, Doamne, sprijinitu-m-ai din pântecele maicii mele.
Ψλ138:14 ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθην· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.	*14. Mărturisi-mă-voi Ţie, căci cu înfricoşare Te-ai minunat, minunate sunt lucrurile Tale, şi sufletul meu le cunoaşte foarte.*	**Ψλ138:12** Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς **ἐθαυμαστώθης**· θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.	12. Mărturisi-mă-voi Ţie, căci cu înfricoşare Te-ai minunat; minunate sunt lucrurile Tale, şi sufletul meu le cunoaşte foarte.
Ψλ138:15 οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ. καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς·	*15. Nu s-a ascuns osul meu de la Tine, care l-ai făcut în ascuns, şi statul meu întru cele mai de jos ale pământului;*	**Ψλ138:13** Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς.	13. Nu s-a ascuns osul meu de la Tine, pe care l-ai făcut în ascuns, şi statul (ipostasul) meu întru cele mai de jos ale pământului.
Ψλ138:16 τὸ ἀκατέργαστόν μου εἴδοσαν οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς.	*16. cel nelucrat al meu l-a văzut ochii Tăi, şi în cartea Ta toţi se vor scrie; zile se vor zidi, şi niciuna întru dânşii.*	**Ψλ138:14** Τὸ ἀκατέργαστόν μου **εἶδον** οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται· ἡμέρας πλασθήσονται, καὶ οὐθεὶς ἐν αὐτοῖς.	14. Cel nelucrat al meu l-a văzut ochii Tăi, şi în cartea Ta toţi se vor scrie; zile se vor zidi, şi niciuna întru dânşii.
Ψλ138:17 ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ	*17. Iar mie foarte îmi sunt cinstiţi prietenii Tăi, Dumnezeule, foarte s-au întărit stăpâniile*	**Ψλ138:15** Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ	15. Iar mie foarte îmi sunt cinstiţi prietenii Tăi, Dumnezeule, foarte s-au întărit începătoriile

αὐτῶν· **Ψλ138:18** ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἐξηγέρθην καὶ ἔτι εἰμὶ μετὰ σοῦ.	*(începătoriile) lor; 18. număra-voi pe dânşii, şi mai mult decât nisipul se vor înmulţi; sculatu-m-am şi încă sunt cu Tine.*	αὐτῶν. **Ψλ138:16** Ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ.	lor. 16. Număra-voi pe dânşii, şi mai mult decât nisipul se vor înmulţi; sculatu-m-am şi încă sunt cu Tine.
Ψλ138:19 ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ Θεός, ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ.	*19. De ai omorî pe păcătoşi, Dumnezeule; bărbaţii sângiurilor depărtaţi-vă de la mine.*	**Ψλ138:17** Ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ Θεός· ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ.	17. De ai omorî pe păcătoşi, Dumnezeule; bărbaţi ai sângiurilor, abateţi-vă de la mine.
Ψλ138:20 ὅτι ἐρεῖς εἰς διαλογισμόν· λήμψονται εἰς ματαιότητα τὰς πόλεις σου.	*20. Că gâlcevitori sunteţi întru gânduri, lua-vor întru deşertăciuni cetăţile Tale.*	**Ψλ138:18** Ὅτι **ἐρισταί** εἰς **διαλογισμούς**· λήμψονται εἰς ματαιότητα τὰς πόλεις σου.	18. Că pricitori (gâlcevitori) sunteţi întru gânduri; lua-vor întru deşertăciuni cetăţile Tale.
Ψλ138:21 οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην;	*21. Au nu pe cei ce Te urăsc pe Tine, Doamne, i-am urât şi asupra vrăjmaşilor Tăi m-am topit?*	**Ψλ138:19** Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ **τοὺς ἐχθρούς** σου ἐξετηκόμην;	19. Au nu pe cei ce Te urăsc pe Tine, Doamne, am urât? Şi asupra vrăjmaşilor Tăi m-am topit?
Ψλ138:22 τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι.	*22. Cu ură desăvârşită i-am urât pe ei, neprieteni (vrăjmaşi) mi s-au făcut mie.*	**Ψλ138:20** Τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι.	20. Cu ură desăvârşită îi uram pe ei, neprieteni (vrăjmaşi) mi s-au făcut mie.
Ψλ138:23 δοκίμασόν με, ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου, ἔτασόν με καὶ γνῶθι τὰς τρίβους μου	*23. Încearcă-mă Dumnezeule şi cunoaşte inima mea, cearcă-mă (cercetează-mă) şi cunoaşte cărările mele,*	**Ψλ138:21** Δοκίμασόν με, ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου, ἔτασόν με καὶ γνῶθι τὰς τρίβους μου.	21. Încearcă-mă, Dumnezeule, şi cunoaşte inima mea, cearcă-mă şi cunoaşte cărările mele.
Ψλ138:24 καὶ ἰδὲ εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.	*24. şi vezi, de este calea fărădelegii întru mine, şi mă îndreptează în calea cea veşnică.*	**Ψλ138:22** Καὶ ἰδὲ εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.	22. Şi vezi de este calea fărădelegii întru mine, şi mă îndreptează în calea cea veşnică.
ΨΑΛΜΟΣ ΡΛΘ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 139 Întru sfârşit; psalm al lui David.*	ΨΑΛΜΟΣ ΡΛΘ΄. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 139 Întru sfârşit; psalm al lui David.*
Ψλ139:1 Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με,	*1. Scoate-mă Doamne de la omul viclean, de la bărbatul nedrept mă izbăveşte,*	**Ψλ139:1** Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με,	1. Scoate-mă, Doamne, de la omul viclean, de bărbatul nedrept mă izbăveşte,
Ψλ139:2 οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους·	*2. care gândeau nedreptate în inimă, toată ziua rânduiau războaie;*	**Ψλ139:2** οἵτινες ἐλογίσαντο **ἀδικίαν** ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.	2. care cugetau nedreptate în inimă, toată ziua rânduiau războaie.
Ψλ139:3 ἠκόνησαν	*3. ascuţit-au limba lor*	**Ψλ139:3** Ἠκόνησαν	3. Ascuţit-au limba lor

γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.	*ca de şarpe, otravă de aspidă sub buzele lor.*	γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.	ca de şarpe, otravă de aspidă sub buzele lor.
Ψλ139:4 φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με, οἵτινες ἐλογίσαντο ὑποσκελίσαι τὰ διαβήματά μου·	*4. Păzeşte-mă, Doamne, de mâna păcătosului, de la oamenii nedrepţi mă scoate, care au gândit să împiedice paşii mei;*	**Ψλ139:4** Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με, οἵτινες ἐλογίσαντο **τοῦ** ὑποσκελίσαι τὰ διαβήματά μου.	4. Păzeşte-mă, Doamne, de mâna păcătosului, de la oamenii nedrepţi mă scoate, care au gândit să împiedice paşii mei.
Ψλ139:5 ἔκρυψαν ὑπερήφανοι παγίδα μοι καὶ σχοινία διέτειναν, παγίδας τοῖς ποσίν μου, ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι.	*5. ascuns-au mândrii cursă mie, şi cu funii au întins cursă picioarelor mele, pe lângă cărare sminteli mi-au pus mie.*	**Ψλ139:5** Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ **σχοινίοις** διέτειναν **παγίδα** τοῖς **ποσί** μου, ἐχόμενα τρίβου **σκάνδαλα** ἔθεντό μοι.	5. Ascuns-au mândrii, cursă mie, şi cu funii au întins cursă picioarelor mele, pe lângă cărare sminteli mi-au pus mie.
Ψλ139:6 εἶπα τῷ Κυρίῳ Θεός μου εἶ σύ· ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.	*6. Zis-am Domnului: Dumnezeul meu eşti Tu; ascultă, Doamne, glasul rugăciunii mele.*	**Ψλ139:6** Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ· ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.	6. Zis-am Domnului: Dumnezeul meu eşti Tu; ascultă, Doamne, glasul rugăciunii mele.
Ψλ139:7 Κύριε Κύριε δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.	*7. Doamne, Doamne, puterea mântuirii mele, umbrit-ai peste capul meu în ziua de război.*	**Ψλ139:7** Κύριε Κύριε δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.	7. Doamne, Doamne, puterea mântuirii mele, umbrit-ai peste capul meu în ziua de război.
Ψλ139:8 μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ᾽ ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.	*8. Să nu mă dai Doamne, de la dorirea mea, celui păcătos; gândit-a împotriva mea, să nu mă părăseşti, ca nu cândva să se înalţe.*	**Ψλ139:8** Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ᾽ ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.	8. Să nu mă dai, Doamne, de la dorirea mea celui păcătos; gândit-a împotriva mea, să nu mă părăseşti, ca nu cândva să se înalţe.
Ψλ139:9 ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.	*9. Capul înconjurării lor, osteneala buzelor lor îi va acoperi pe dânşii.*	**Ψλ139:9** Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.	9. Capul înconjurării lor, osteneala buzelor lor îi va acoperi pe dânşii.
Ψλ139:10 πεσοῦνται ἐπ᾽ αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καταβαλεῖς αὐτούς, ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν.	*10. Cădea-vor peste dânşii cărbuni, în foc îi vei surpa pe dânşii, în ticăloşii nu vor putea răbda.*	**Ψλ139:10** Πεσοῦνται ἐπ᾽ αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καταβαλεῖς αὐτούς, ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν.	10. Cădea-vor peste dânşii cărbuni aprinşi, în foc surpa-voi pe ei, în ticăloşie nu vor putea răbda.
Ψλ139:11 ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς, ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.	*11. Omul limbut nu se va îndrepta pe pământ, pe bărbatul nedrept relele îl vor vâna spre stricăciune.*	**Ψλ139:11** Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς, ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.	11. Omul limbut nu se va îndrepta pe pământ, pe bărbatul nedrept relele îl vor vâna spre stricăciune.
Ψλ139:12 ἔγνων ὅτι	*12. Cunoscut-am că va*	**Ψλ139:12** Ἔγνων, ὅτι	12. Cunoscut-am, că va

ποιήσει Κύριος τὴν κρίσιν τοῦ πτωχοῦ καὶ τὴν δίκην τῶν πενήτων.	*face Domnul judecată săracilor, şi izbândă lipsiţilor.*	ποιήσει Κύριος τὴν κρίσιν **τῶν πτωχῶν**, καὶ τὴν δίκην τῶν πενήτων.	face Domnul judecată săracilor şi izbândă (dreptate) lipsiţilor.
Ψλ139:13 πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.	*13. Însă drepţii se vor mărturisi numelui Tău, şi vor locui drepţii împreună cu Faţa Ta.*	**Ψλ139:13** Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Δόξα...	13. Însă drepţii se vor mărturisi numelui Tău, şi vor locui drepţii împreună cu Faţa Ta. Slavă…
ΨΑΛΜΟΣ ΡΜʹ. Ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 140* *Psalm a lui David.*	ΨΑΛΜΟΣ ΡΜʹ. Ψαλμὸς τῷ Δαυΐδ.	*PSALMUL 140* *Psalm a lui David.*
Ψλ140:1 Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.	*1. Doamne, strigat-am către Tine, auzi-mă; ia aminte glasul rugăciunii mele când strig către Tine.*	**Ψλ140:1** Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.	1. Doamne, strigat-am către Tine, auzi-mă; ia aminte glasul rugăciunii mele când strig către Tine.
Ψλ140:2 κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.	*2. Să se îndrepteze rugăciunea mea ca tămâia înaintea Ta, ridicarea mâinilor mele, jertfă de seară.*	**Ψλ140:2** Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.	2. Să se îndrepteze rugăciunea mea, ca tămâia înaintea Ta, ridicarea mâinilor mele, jertfă de seară.
Ψλ140:3 θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.	*3. Pune Doamne strajă gurii mele şi uşă de îngrădire împrejurul buzelor mele.*	**Ψλ140:3** Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.	3. Pune, Doamne, strajă gurii mele şi uşă de îngrădire împrejurul buzelor mele.
Ψλ140:4 μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις σὺν ἀνθρώποις ἐργαζομένοις ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.	*4. Să nu abaţi (apleci) inima mea spre cuvinte de vicleşug, ca să tăgăduiesc răspunsurile cele din păcate (dezvinovăţind cu pricini în păcate) cu oamenii cei ce lucrează fărădelegea, şi nu mă voi însoţi cu aleşii lor.*	**Ψλ140:4** Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις, **Ψλ140:5** σὺν ἀνθρώποις ἐργαζομένοις ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.	4. Să nu abaţi (pleci) inima mea spre cuvinte de vicleşug, ca să aduc pricinile cele din păcate (pretextându-Ți pricini în păcate), 5. cu oameni cei ce lucrează fărădelegea, şi nu mă voi însoţi cu aleşii lor.
Ψλ140:5 παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου, ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν.	*5. Certa-mă-va dreptul cu milă şi mă va mustra, iar untdelemnul păcătosului să nu ungă capul meu, că încă şi rugăciunea mea este întru bune-vrerile lor.*	**Ψλ140:6** Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.	6. Certa-mă-va dreptul cu milă şi mă va mustra; iar untdelemnul păcătosului să nu ungă capul meu.
Ψλ140:6 κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν·	*6. Înghiţitu-s-au lângă piatră judecătorii lor; auzi-se-vor graiurile*	**Ψλ140:7** Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.	7. Că încă şi rugăciunea mea este întru bune-vrerile lor; înghiţitu-s-au lângă piatră judecătorii lor.

ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν.	*mele, că s-au îndulcit.*	**Ψλ140:8** Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν·	8. Auzi-se-vor graiurile mele, că s-au îndulcit;
Ψλ140:7 ὡσεὶ πάχος γῆς διερράγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην.	*7. Ca o brazdă pe pământ s-au rumpt pe pământ, risipitu-s-au oasele noastre lângă iad.*	ὡσεὶ πάχος γῆς **ἐρράγη** ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ **αὐτῶν** παρὰ τὸν ᾅδην.	ca o brazdă de pământ s-au rupt pe pământ, risipitu-s-au oasele lor lângă iad.
Ψλ140:8 ὅτι πρὸς σέ, Κύριε Κύριε, οἱ ὀφθαλμοί μου· ἐπὶ σὲ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.	*8. Căci către Tine, Doamne, Doamne, ochii mei, spre Tine am nădăjduit, să nu iei sufletul meu.*	**Ψλ140:9** Ὅτι πρὸς σέ, Κύριε Κύριε, οἱ ὀφθαλμοί μου, ἐπὶ σὲ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.	9. Căci către Tine, Doamne, Doamne, ochii mei, spre Tine au nădăjduit, să nu iei sufletul meu.
Ψλ140:9 φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.	*9. Păzeşte-mă de cursa care mi-au pus mie, şi de smintelile celor ce lucrează fărădelegea.*	**Ψλ140:10** Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.	10. Păzeşte-mă de cursa care mi-au pus mie şi de smintelile celor ce fac fărădelege (lucrătorilor fărădelegii).
Ψλ140:10 πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγὼ ἕως **οὗ** ἂν παρέλθω.	*10. Cădea-vor în mreaja Lui păcătoşii; deosebi sunt eu până ce voi trece.*	**Ψλ140:11** Πεσοῦνται ἐν ἀμφιβλήστρῳ **αὐτῶν** ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.	11. Cădea-vor în mreaja lor păcătoşii; deosebi sunt eu până ce voi trece.
ΨΑΛΜΟΣ ΡΜΑ΄. Συνέσεως τῷ Δαυῒδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ· προσευχή.	*PSALMUL 141 De pricepere, lui David, când era el în peşteră; rugăciune.*	ΨΑΛΜΟΣ ΡΜΑ΄. Συνέσεως τῷ Δαυῒδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον.	*PSALMUL 141 De pricepere, lui David, când era el în peşteră rugându-se.*
Ψλ141:1 Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.	*1. Cu glasul meu către Domnul am strigat, cu glasul meu către Domnul m-am rugat.*	**Ψλ141:1** Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.	1. Cu glasul meu către Domnul am strigat, cu glasul meu către Domnul m-am rugat.
Ψλ141:2 ἐκχεῶ ἐναντίον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.	*2. Vărsa-voi înaintea Lui rugăciunea mea, necazul meu înaintea Lui voi spune.*	**Ψλ141:2** Ἐκχεῶ **ἐνώπιον** αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.	2. Vărsa-voi înaintea Lui rugăciunea mea, necazul meu înaintea Lui voi spune.
Ψλ141:3 ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου καὶ σὺ ἔγνως τὰς τρίβους μου· ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.	*3. Când lipsea dintru mine duhul meu şi Tu ai cunoscut cărările mele; în calea aceasta, în care am umblat, ascuns-au cursă mie.*	**Ψλ141:3** Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. **Ψλ141:4** Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.	3. Când lipsea dintru mine duhul meu, şi Tu ai cunoscut cărările mele. 4. În calea aceasta, în care am umblat, ascuns-au cursă mie.
Ψλ141:4 κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, ὅτι οὐκ ἦν ὁ ἐπιγινώσκων με· ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ,	*4. Luat-am seama de-a dreapta şi am privit, că nu era cine să mă cunoască; pierit-a fuga de la mine, şi nu este cel*	**Ψλ141:5** Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, **καὶ** οὐκ ἦν ὁ ἐπιγινώσκων με. **Ψλ141:6** Ἀπώλετο φυγὴ	5. Luat-am seama de-a dreapta şi am privit şi nu era cine să mă cunoască. 6. Pierit-a fuga de la

καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.	*ce caută sufletul meu.*	ἀπ’ ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.	mine şi nu este cel ce caută sufletul meu.
Ψλ141:5 ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου ἐν γῇ ζώντων.	*5. Strigat-am către Tine Doamne, zis-am: Tu eşti nădejdea mea, partea mea în pământul celor vii.*	**Ψλ141:7** Ἐκέκραξα πρὸς σέ, Κύριε· εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου **εἶ** ἐν γῇ ζώντων.	7. Strigat-am către Tine, Doamne; zis-am: „Tu eşti nădejdea mea, partea mea eşti în pământul celor vii”.
Ψλ141:6 πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα· ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.	*6. Ia aminte spre rugăciunea mea, că m-am smerit foarte; izbăveşte-mă de cei ce mă prigonesc, că s-au întărit mai vârtos (mult) decât mine.*	**Ψλ141:8** Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα. **Ψλ141:9** Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.	8. Ia aminte la rugăciunea mea, că m-am smerit foarte. 9. Izbăveşte-mă de cei ce mă prigonesc, că s-au întărit mai vârtos (mult) decât mine.
Ψλ141:7 ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου, **Κύριε**· ἐμὲ ὑπομενοῦσιν δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.	*7. Scoate din temniţă sufletul meu, ca să se mărturisească numelui Tău, Doamne; pe mine mă aşteaptă drepţii, până ce vei răsplăti mie.*	**Ψλ141:10** Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. **Ψλ141:11** Ἐμὲ **ὑπομενοῦσι** δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.	10. Scoate din temniţă sufletul meu, ca să se mărturisească numelui Tău. 11. Pe mine mă aşteaptă drepţii, până ce-mi vei răsplăti mie.
ΨΑΛΜΟΣ ΡΜΒʹ. Ψαλμὸς τῷ Δαυΐδ, ὅτε αὐτὸν ὁ υἱὸς καταδιώκει.	*PSALMUL 142* *Psalm lui David, când îl gonea pe el fiul.*	ΨΑΛΜΟΣ ΡΜΒʹ. Ψαλμὸς τῷ Δαυΐδ, ὅτε **καταδίωκεν** αὐτὸν Ἀβεσσαλὼμ ὁ υἱὸς αὐτοῦ.	*PSALMUL 142* *Psalm lui David, când îl gonea pe el Abesalom, fiul lui.*
Ψλ142:1 Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·	*1. Doamne auzi rugăciunea mea, ascultă cererea mea întru adevărul Tău, auzi-mă, întru dreptatea Ta;*	**Ψλ142:1** Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.	1. Doamne, auzi rugăciunea mea, ia în urechi (ascultă) cererea mea, întru adevărul Tău, auzi-mă întru dreptatea Ta.
Ψλ142:2 καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.	*2. şi să nu intri la judecată cu robul Tău, că nu se va îndrepta înaintea Ta tot cel viu.*	**Ψλ142:2** Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.	2. Şi să nu intri la judecată cu robul Tău, că nu se va îndrepta înaintea Ta tot cel viu.
Ψλ142:3 ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέν με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· **Ψλ142:4** καὶ ἠκηδίασεν	*3. Că a prigonit vrăjmaşul sufletul meu, împilat-a (smerit-a) la pământ viaţa mea, aşezatu-m-a întru cele întunecate ca pe morţii veacului;* *4. şi s-a mâhnit întru*	**Ψλ142:3** Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. **Ψλ142:4** **Ἐκάθισέ** με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ’ ἐμὲ τὸ	3. Că a prigonit vrăjmaşul sufletul meu, smerit-a la pământ viaţa mea. 4. Aşezatu-m-a întru cele întunecate, ca pe morţii veacului, şi s-a mâhnit întru mine duhul

ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.	*mine duhul meu, întru mine s-a tulburat inima mea.*	πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.	meu, întru mine s-a tulburat inima mea.
Ψλ142:5 ἐμνήσθην ἡμερῶν ἀρχαίων **καὶ** ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασιν τῶν χειρῶν σου ἐμελέτων.	*5. Adusu-mi-am aminte de zilele cele din început și cugetat-am la toate lucrurile Tale, la faptele mâinilor Tale am gândit.*	**Ψλ142:5** Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν **ποιήμασι** τῶν χειρῶν σου ἐμελέτων.	5. Adusu-mi-am aminte de zilele cele din început, cugetat-am la toate lucrurile Tale, la faptele mâinilor Tale m-am gândit.
Ψλ142:6 διεπέτασα τὰς χεῖράς μου πρὸς σέ, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.	*6. Tins-am către Tine mâinile mele, sufletul meu ca un pământ fără de apă Ție.*	**Ψλ142:6** Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.	6. Tins-am către Tine mâinile mele, sufletul meu ca un pământ fără de apă Ție.
Ψλ142:7 ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.	*7. Degrab auzi-mă Doamne, slăbit-a duhul meu; să nu întorci fața ta de la mine, și mă voi asemăna celor ce se pogoară în groapă.*	**Ψλ142:7** Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου. **Ψλ142:8** Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.	7. Degrab auzi-mă, Doamne, slăbit-a duhul meu. 8. Să nu întorci fața Ta de la mine, și mă voi asemăna celor ce se pogoară în groapă.
Ψλ142:8 ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου·	*8. Auzită fă mie dimineața mila Ta, că spre Tine am nădăjduit; arată-mi mie, Doamne, calea în care voi merge, căci la (către) Tine am ridicat sufletul meu;*	**Ψλ142:9** Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. **Ψλ142:10** Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.	9. Auzită fă mie dimineața mila Ta, că spre Tine am nădăjduit. 10. Arată-mi mie, Doamne, calea în care voi merge, că la Tine am ridicat sufletul meu.
Ψλ142:9 ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον. **Ψλ142:10** δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. **Ψλ142:11** ἕνεκα τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· **Ψλ142:12** καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν	*9. scoate-mă de la vrăjmașii mei, Doamne, că la Tine am scăpat.* *10. Învață-mă să fac voia Ta, că Tu ești Dumnezeul meu; Duhul Tău cel bun mă va povățui la pământul cel drept.* *11. Pentru numele Tău, Doamne, mă vei via, întru dreptatea Ta vei scoate din necaz sufletul meu;* *12. și întru mila Ta vei sfârși (prăpădi desăvârșit) pe vrăjmașii mei și vei pierde pe toți cei ce necăjesc sufletul*	**Ψλ142:11** Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. **Ψλ142:12** Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· **ἕνεκεν** τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. **Ψλ142:13** Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου **ἐξολοθρεύσεις** τοὺς ἐχθρούς μου. **Ψλ142:14** Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ	11. Scoate-mă de la vrăjmașii mei, Doamne, la Tine am scăpat, învață-mă să fac voia Ta, că Tu ești Dumnezeul meu. 12. Duhul Tău Cel bun mă va povățui la pământul cel drept; pentru numele Tău, Doamne, mă vei via. 13. Întru dreptatea Ta vei scoate din necaz sufletul meu și întru mila Ta vei sfârși (prăpădi) pe vrăjmașii mei. 14. Și vei pierde pe toți cei ce necăjesc sufletul meu, că eu sunt robul

μου· ὅτι δοῦλός σού εἰμι ἐγώ.	*meu; că eu sunt robul Tău.*	δοῦλός σού εἰμι. Δόξα...	tău. Slavă…
ΨΑΛΜΟΣ ΡΜΓ΄. Τῷ Δαυΐδ, πρὸς τὸν Γολιαδ.	*PSALMUL 143* *A lui David, către Goliat.*	ΚΑΘΙΣΜΑ ΕΙΚΟΣΤΟΝ ΨΑΛΜΟΣ ΡΜΓ΄. Τῷ Δαυΐδ, πρὸς τὸν **Γολιάθ**.	Catisma a douăzecea *PSALMUL 143* *A lui David, către Goliat.*
Ψλ143:1 Εὐλογητὸς Κύριος ὁ Θεός μου ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον·	*1. Bine este cuvântat Domnul Dumnezeul meu Cel ce învaţă mâinile mele spre oştire, degetele mele spre război;*	Ψλ143:1 Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον.	1. Bine este cuvântat Domnul Dumnezeul meu Cel ce învaţă mâinile mele spre oştire, şi degetele mele la război.
Ψλ143:2 ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήμπτωρ μου καὶ ῥύστης μου, ὑπερασπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα, ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ.	*2. mila mea şi scăparea mea, sprijinitorul meu şi izbăvitorul meu, scutitorul (apărătorul) meu, şi întru El am nădăjduit, Cel ce supune pe poporul meu sub mine.*	Ψλ143:2 Ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήμπτωρ μου καὶ ῥύστης μου. Ψλ143:3 Ὑπερασπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα, ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ.	2. Mila mea şi scăparea mea, sprijinitorul meu şi izbăvitorul meu. 3. Scutitorul (Apărătorul) meu şi întru El am nădăjduit, Cel ce supune pe poporul meu sub mine.
Ψλ143:3 Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν;	*3. Doamne, ce este omul, că Te-ai făcut cunoscut lui, sau fiul omului, că-l socoteşti pe el?*	Ψλ143:4 Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ **αὐτῷ**;	4. Doamne, ce este omul, că Te-ai (făcut) cunoscut lui, sau fiul omului, că-l socoteşti pe el?
Ψλ143:4 ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν.	*4. Omul deşertăciunii s-a asemănat, zilele lui ca umbra trec.*	Ψλ143:5 Ἄνθρωπος ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ **παράγουσι**.	5. Omul deşertăciunii s-a asemănat, zilele lui ca umbra trec.
Ψλ143:5 Κύριε, κλῖνον οὐρανούς **σου** καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται·	*5. Doamne, pleacă cerurile Tale şi Te pogoară, atinge-Te de munţi, şi vor fumega;*	Ψλ143:6 Κύριε, κλῖνον οὐρανούς καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται.	6. Doamne, pleacă cerurile şi Te pogoară; atinge-Te de munţi, şi vor fumega.
Ψλ143:6 ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς, ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς.	*6. fulgeră fulgere şi-i vei risipi pe dânşii, trimite săgeţile Tale şi-i vei turbura pe ei.*	Ψλ143:7 Ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς, ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς.	7. Fulgeră fulger şi-i vei risipi pe ei, trimite săgeţile Tale şi-i vei tulbura pe ei.
Ψλ143:7 ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων,	*7. Trimite mâna Ta dintru înălţime, scoate-mă şi mă izbăveşte din ape multe, din mâna fiilor celor străini,*	Ψλ143:8 Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων.	8. Trimite mâna Ta dintru înălţime; scoate-mă şi mă izbăveşte din ape multe, din mâna fiilor celor străini.
Ψλ143:8 ὧν τὸ στόμα ἐλάλησεν ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ	*8. a cărora gură a grăit deşertăciune, şi dreapta lor este dreapta*	Ψλ143:9 Ὧν τὸ στόμα **ἐλάλησε** ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ	9. A căror gură a grăit deşertăciune, şi dreapta lor este dreapta

ἀδικίας.	*nedreptăţii.*	ἀδικίας.	nedreptăţii.
Ψλ143:9 ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι	*9. Dumnezeule, cântarea nouă voi cânta Ţie, în psaltire cu zece strune voi cânta Ţie,*	**Ψλ143:10** Ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι,	10. Dumnezeule, cântare nouă voi cânta Ţie, în psaltire cu zece strune voi cânta Ţie,
Ψλ143:10 τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν, τῷ λυτρουμένῳ Δαυῒδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.	*10. Celui ce dai mântuire împăraţilor, Celui ce izbăveşte pe David robul Său, de sabie cumplită.*	**Ψλ143:11** τῷ διδόντι τὴν σωτηρίαν τοῖς **βασιλεῦσι**, τῷ λυτρουμένῳ Δαυῒδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.	11. Celui ce dai mântuire împăraţilor; Celui ce izbăveşte pe David, robul Său, de sabie cumplită.
Ψλ143:11 ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησεν ματαιότητα καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.	*11. Izbăveşte-mă şi mă scoate din mâna fiilor celor străini, a căror gură a grăit deşertăciune şi dreapta lor este dreapta nedreptăţii.*	**Ψλ143:12** Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα **ἐλάλησε** ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.	12. Izbăveşte-mă şi mă scoate din mâna fiilor străini, a căror gură a grăit deşertăciune şi dreapta lor este dreapta nedreptăţii.
Ψλ143:12 ὧν οἱ υἱοὶ ὡς νεόφυτα ἡδρυμμένα ἐν τῇ νεότητι αὐτῶν, αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ,	*12. Ai căror fii ca nişte tinere odrasle, înfipte întru tinereţile lor, fiicele lor înfrumuseţate, împodobite ca asemănarea templului,*	**Ψλ143:13** Ὧν οἱ υἱοὶ ὡς νεόφυτα, ἡδρυμμένα ἐν τῇ νεότητι αὐτῶν. **Ψλ143:14** Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.	13. Ai căror fii ca nişte saduri tinere, înfipte (întărite) întru tinereţile lor. 14. Fiicele lor înfrumuseţate, împodobite ca asemănarea templului.
Ψλ143:13 τὰ ταμίεια αὐτῶν πλήρη ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο, τὰ πρόβατα αὐτῶν πολυτόκα πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν,	*13. cămările lor pline, vărsându-se din aceasta în aceea, oile lor mult fătătoare, înmulţindu-se întru ieşirile lor,*	**Ψλ143:15** Τὰ ταμίεια αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. **Ψλ143:16** Τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν· οἱ βόες αὐτῶν παχεῖς.	15. Cămările lor pline, vărsându-se din aceasta în aceea. 16. Oile lor mult-fătătoare, înmulţindu-se întru ieşirile lor; boii lor graşi.
Ψλ143:14 οἱ βόες αὐτῶν παχεῖς, οὐκ ἔστιν κατάπτωμα φραγμοῦ οὐδὲ διέξοδος οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν,	*14. boii lor graşi, nu este cădere de gard, nici trecătoare, nici strigare în uliţele lor,*	**Ψλ143:17** Οὐκ **ἔστι** κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.	17. Nu este cădere de gard, nici trecătoare, nici strigare în uliţele lor.
Ψλ143:15 ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστιν· μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.	*15. Fericit-au pe poporul, căruia sunt acestea; fericit este poporul căruia Domnul e Dumnezeul lui.*	**Ψλ143:18** Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά **ἐστι**· μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.	18. Fericit-au pe poporul, căruia sunt acestea; fericit poporul căruia Domnul e Dumnezeul lui!
ΨΑΛΜΟΣ ΡΜΔ΄. Αἴνεσις τῷ Δαυΐδ.	*PSALMUL 144* *Laudei lui David.*	ΨΑΛΜΟΣ ΡΜΔ΄. Αἴνεσις τῷ Δαυΐδ.	*PSALMUL 144* *Laudei lui David.*

Ψλ144:1 Ὑψώσω σε, ὁ Θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*1. Înălţa-Te-voi Dumnezeul meu, Împăratul meu, şi bine voi cuvânta numele Tău în veac şi în veacul veacului.*	**Ψλ144:1** Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	1. Înalţa-Te-voi, Dumnezeul meu, Împăratul meu, şi voi binecuvânta numele Tău în veac şi în veacul veacului.
Ψλ144:2 καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*2. În toate zilele bine Te voi cuvânta, şi voi lăuda numele Tău în veac şi veacul veacului.*	**Ψλ144:2** Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	2. În toate zilele Te voi binecuvânta şi voi lăuda numele Tău în veac şi în veacul veacului.
Ψλ144:3 μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστιν πέρας.	*3. Mare este Domnul şi lăudat foarte, şi măririi Lui nu este sfârşit.*	**Ψλ144:3** Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ **ἔστι** πέρας.	3. Mare este Domnul şi lăudat foarte şi măririi Lui nu este sfârşit (margini).
Ψλ144:4 γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσιν.	*4. Neamul şi neamul vor lăuda lucrurile Tale şi puterea Ta vor vesti.*	**Ψλ144:4** Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου **ἀπαγγελοῦσι**.	4. Neamul şi neamul vor lăuda lucrurile Tale şi puterea Ta o vor vesti.
Ψλ144:5 τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσιν καὶ τὰ θαυμάσιά σου διηγήσονται.	*5. Mare-cuviinţa slavei sfinţeniei Tale vor grăi şi minunile Tale vor povesti.*	**Ψλ144:5** Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου **λαλήσουσι**, καὶ τὰ θαυμάσιά σου διηγήσονται.	5. Mare-cuviinţa slavei sfinţeniei Tale vor grăi şi minunile Tale vor povesti.
Ψλ144:6 καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσιν καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.	*6. Şi puterea celor înfricoşate ale Tale vor spune şi mărirea Ta vor povesti.*	**Ψλ144:6** Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου **ἐροῦσι**, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.	6. Şi puterea celor înfricoşate ale Tale o vor spune, şi mărirea Ta vor povesti.
Ψλ144:7 μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.	*7. Pomenirea mulţimii bunătăţii Tale vor vesti şi de dreptatea Ta se vor bucura.*	**Ψλ144:7** Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.	7. Pomenirea mulţimii bunătăţii Tale vor vesti şi de dreptatea Ta se vor bucura.
Ψλ144:8 οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.	*8. Îndurat şi milostiv este Domnul, îndelung-răbdător şi mult-milostiv.*	**Ψλ144:8** Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.	8. Îndurat şi milostiv este Domnul, îndelung-răbdător şi mult-milostiv.
Ψλ144:9 χρηστὸς Κύριος τοῖς σύμπασιν, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.	*9. Bun este Domnul tuturor, şi îndurările Lui peste toate lucrurile Lui.*	**Ψλ144:9** Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.	9. Bun este Domnul tuturor şi îndurările Lui peste toate lucrurile Lui.
Ψλ144:10 ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί	*10. Mărturisească-se Ţie, Doamne, toate lucrurile Tale, şi cuvioşii Tăi bine să Te*	**Ψλ144:10** Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί	10. Mărturisească-se Ţie, Doamne, toate lucrurile Tale, şi cuvioşii Tăi să Te

σου εὐλογησάτωσάν σε.	*binecuvânteze.*	σου εὐλογησάτωσάν σε.	binecuvânteze.
Ψλ144:11 δόξαν τῆς βασιλείας σου ἐροῦσιν καὶ τὴν δυναστείαν σου λαλήσουσιν	*11. Slava împărăţiei Tale vor spune şi puterea Ta vor grăi,*	**Ψλ144:11** Δόξαν τῆς βασιλείας σου **ἐροῦσι**, καὶ τὴν δυναστείαν σου **λαλήσουσι**,	11. Slava împărăţiei Tale vor spune şi puterea Ta vor grăi,
Ψλ144:12 τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.	*12. ca să facă cunoscută fiilor omeneşti stăpânirea Ta, şi slava marii-cuviinţei a împărăţiei Tale.*	**Ψλ144:12** τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.	12. ca să facă cunoscute fiilor omeneşti stăpânirea Ta şi slava marii-cuviinţe a împărăţiei Tale.
Ψλ144:13 ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.	*13. Împărăţia Ta este Împărăţia tuturor veacurilor, şi stăpânirea Ta întru tot neamul şi neamul.*	**Ψλ144:13** Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.	13. Împărăţia Ta este Împărăţia tuturor veacurilor şi stăpânirea Ta întru tot neamul şi neamul.
Ψλ144:13α πιστὸς Κύριος ἐν τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.	*13a. Credincios este Domnul întru toate cuvintele Sale şi cuvios întru toate lucrările Sale.*	**Ψλ144:14** Πιστὸς Κύριος ἐν **πᾶσι** τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.	14. Credincios este Domnul întru toate cuvintele Sale şi cuvios întru toate lucrările Sale.
Ψλ144:14 ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.	*14. Sprijineşte Domnul pe toţi cei ce cad şi îndreaptă pe toţi cei surpaţi.*	**Ψλ144:15** Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.	15. Aproape este (Sprijineşte) Domnul de toţi cei ce cad şi îndreaptă pe cei surpaţi.
Ψλ144:15 οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσιν, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.	*15. Ochii tuturor spre Tine nădăjduiesc, şi Tu le dai lor hrană în bună-vreme.*	**Ψλ144:16** Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ **ἐλπίζουσι**, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.	16. Ochii tuturor spre Tine nădăjduiesc şi Tu le dai lor hrană la bună-vreme.
Ψλ144:16 ἀνοίγεις σὺ τὴν χεῖρά σου καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.	*16. Deschizi Tu mâna Ta şi saturi pe tot cel viu de bunăvoinţă.*	**Ψλ144:17** Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.	17. Deschizi Tu mâna Ta şi saturi pe tot cel viu de bunăvoinţă.
Ψλ144:17 δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ ὅσιος ἐν πᾶσιν τοῖς ἔργοις αὐτοῦ.	*17. Drept este Domnul întru toate căile Sale şi cuvios întru toate lucrurile Sale.*	**Ψλ144:18** Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν **πᾶσι** τοῖς ἔργοις αὐτοῦ.	18. Drept este Domnul întru toate căile Sale şi cuvios întru toate lucrurile Sale.
Ψλ144:18 ἐγγὺς Κύριος πᾶσιν τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.	*18. Aproape este Domnul de toţi cei ce-L cheamă pe El, de toţi cei ce-L cheamă pe El întru adevăr.*	**Ψλ144:19** Ἐγγὺς Κύριος **πᾶσι** τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.	19. Aproape este Domnul de toţi cei ce-L cheamă pe El, de toţi cei ce-L cheamă pe El întru adevăr.
Ψλ144:19 θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως	*19. Voia celor ce se tem de El va face şi rugăciunea lor va auzi*	**Ψλ144:20** Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς	20. Voia celor ce se tem de El va face şi rugăciunea lor va auzi

αὐτῶν ἐπακούσεται καὶ σώσει αὐτούς.	*şi-i va mântui pe dânşii.*	δεήσεως αὐτῶν ἐπακούσεται καὶ σώσει αὐτούς.	şi-i va mântui pe dânşii.
Ψλ144:20 φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολεθρεύσει.	*20. Păzeşte Domnul pe toţi cei ce-L iubesc pe El şi pe toţi păcătoşii îi va pierde.*	**Ψλ144:21** Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολεθρεύσει.	21. Păzeşte Domnul pe toţi cei ce-L iubesc pe El şi pe toţi păcătoşii îi va pierde.
Ψλ144:21 αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.	*21. Lauda Domnului va grăi gura mea, şi să binecuvânteze tot trupul numele cel sfânt al Lui în veac şi în veacul veacului.*	**Ψλ144:22** Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Δόξα...	22. Lauda Domnului va grăi gura mea şi să binecuvânteze tot trupul numele cel sfânt al Lui, în veac şi în veacul veacului. Slavă…
ΨΑΛΜΟΣ ΡΜΕ΄. Αλληλουια· Αγγαιου καὶ Ζαχαριου.	*PSALMUL 145* *Aliluia; lui Agheu şi Zahariei.*	ΨΑΛΜΟΣ ΡΜΕ΄. Ἀλληλούϊα· Ἀγγαίου καὶ Ζαχαρίου.	*PSALMUL 145* *Aliluia; lui Agheu şi Zahariei.*
Ψλ145:1 Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον. **Ψλ145:2** αἰνέσω Κύριον ἐν ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.	*1. Laudă suflete al meu pe Domnul.* *2. Lăuda-voi pe Domnul în viaţa mea, cânta-voi Dumnezeului meu până ce voi fi.*	**Ψλ145:1** Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν **τῇ** ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.	1. Laudă, suflete al meu, pe Domnul; lăuda-voi pe Domnul în viaţa mea, cânta-voi Dumnezeului meu până ce voi fi.
Ψλ145:3 μὴ πεποίθατε ἐπ' ἄρχοντας καὶ ἐφ' υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστιν σωτηρία.	*3. Nu vă nădăjduiţi (încredeți) spre boieri (începători) şi spre fiii oamenilor, întru care nu este mântuire.*	**Ψλ145:2** Μὴ πεποίθατε ἐπ' ἄρχοντας, **ἐπὶ** υἱοὺς ἀνθρώπων, οἷς οὐκ **ἔστι** σωτηρία.	2. Nu vă nădăjduiţi (încredeți) spre boieri (începători), spre fiii oamenilor, întru care nu este mântuire.
Ψλ145:4 ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.	*4. Ieşi-va duhul lui, şi se va întoarce în pământul său; în ziua aceea vor pieri toate gândurile lor.*	**Ψλ145:3** Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. **Ψλ145:4** Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ **αὐτοῦ**.	3. Ieşi-va duhul lui şi se va întoarce în pământul lui. 4. În ziua aceea vor pieri toate gândurile lui.
Ψλ145:5 μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθός, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ	*5. Fericit este căruia Dumnezeul lui Iacov este ajutorul, nădejdea lui spre Domnul Dumnezeul lui,*	**Ψλ145:5** Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς **αὐτοῦ**, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ,	5. Fericit este căruia Dumnezeul lui Iacov este ajutorul lui, nădejdea lui spre Domnul Dumnezeul lui,
Ψλ145:6 τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, τὸν	*6. spre Cel ce a făcut cerul şi pământul, marea şi toate cele ce sunt într-însele, spre Cel*	**Ψλ145:6** τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς,	6. spre Cel ce a făcut cerul şi pământul, marea şi cele ce sunt într-însele,

φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, **Ψλ145:7** ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσιν· Κύριος λύει πεπεδημένους, **Ψλ145:8** Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος σοφοῖ τυφλούς, Κύριος ἀγαπᾷ δικαίους· **Ψλ145:9** Κύριος φυλάσσει τοὺς προσηλύτους, ὀρφανὸν καὶ χήραν ἀναλήμψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.	*ce păzeşte adevărul în veac,* *7. spre Cel ce face judecată celor năpăstuiţi, spre Cel ce dă hrană celor flămânzi; Domnul dezleagă pe cei ferecaţi în obezi,* *8. Domnul ridică pe cei surpaţi, Domnul înţelepţeşte orbii, Domnul iubeşte pe cei drepţi;* *9. Domnul păzeşte pe cei nemernici, pe orfan şi pe văduvă va primi şi calea păcătoşilor o va pierde.*	**Ψλ145:7** τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς **πεινῶσι**. **Ψλ145:8** Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς, Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος ἀγαπᾷ δικαίους, Κύριος φυλάσσει τοὺς προσηλύτους. **Ψλ145:9** Ὀρφανὸν καὶ χήραν ἀναλήμψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.	7. spre Cel ce păzeşte adevărul în veac, spre Cel ce face judecată celor năpăstuiţi, spre Cel ce dă hrană celor flămânzi. 8. Domnul dezleagă pe cei ferecaţi în obezi, Domnul înţelepţeşte orbii, Domnul ridică pe cei surpaţi, Domnul iubeşte pe cei drepţi, Domnul păzeşte pe cei nemernici. 9. Pe orfan şi pe văduvă va primi şi calea păcătoşilor o va pierde.
Ψλ145:10 βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιων, εἰς γενεὰν καὶ γενεάν.	*10. Împărăţi-va Domnul în veac, Dumnezeul Tău, Sioane, în neam şi în neam.*	**Ψλ145:10** Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.	10. Împărăţia-va Domnul în veac, Dumnezeul Tău, Sioane, în neam şi în neam.
ΨΑΛΜΟΣ ΡΜΣΤ΄. Αλληλουια· Αγγαιου καὶ Ζαχαριου.	*PSALMUL 146* *Aliluia; lui Agheu şi Zahariei.*	ΨΑΛΜΟΣ ΡΜΣΤ΄. Ἀλληλούϊα· Ἀγγαίου καὶ Ζαχαρίου.	*PSALMUL 146* *Aliluia; lui Agheu şi Zahariei.*
Ψλ146:1 Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός· τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.	*1. Lăudaţi pe Domnul că e bun psalmul; Dumnezeului nostru să I se îndulcească lauda.*	**Ψλ146:1** Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός· τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις.	1. Lăudaţi pe Domnul, că e bun psalmul; Dumnezeului nostru să I se îndulcească lauda.
Ψλ146:2 οἰκοδομῶν Ιερουσαλημ ὁ Κύριος **καὶ** τὰς διασπορὰς τοῦ Ἰσραήλ ἐπισυνάξει,	*2. Zidind Ierusalimul Domnul şi risipirile lui Israel le va aduna,*	**Ψλ146:2** Οἰκοδομῶν Ἰερουσαλὴμ ὁ Κύριος, τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.	2. Zidind Domnul Ierusalimul, risipirile lui Israel le va aduna.
Ψλ146:3 ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν,	*3. Cel ce vindecă pe cei zdrobiţi la inimă şi leagă zdruncinăturile lor,*	**Ψλ146:3** Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.	3. Cel ce vindecă pe cei zdrobiţi la inimă şi leagă zdrobirile lor.
Ψλ146:4 ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.	*4. Cel ce numără mulţimea stelelor, şi lor tuturor numele le cheamă.*	**Ψλ146:4** Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.	4. Cel ce numără mulţimea stelelor şi pe toate le cheamă pe nume (numeşte bine).
Ψλ146:5 μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ	*5. Mare este Domnul nostru, şi mare este tăria Lui, şi priceperii Lui nu este număr.*	**Ψλ146:5** Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ	5. Mare este Domnul nostru, şi mare tăria Lui şi priceperii Lui nu este număr.

οὐκ ἔστιν ἀριθμός.		οὐκ ἔστιν ἀριθμός.	
Ψλ146:6 ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς.	*6. Cel ce primeşte pe cei blânzi, Domnul, şi smereşte pe cei păcătoşi până la pământ.*	Ψλ146:6 Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς.	6. Cel ce primeşte pe cei blânzi, Domnul, şi smereşte pe cei păcătoşi la pământ.
Ψλ146:7 ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ,	*7. Începeţi a cânta Domnului întru mărturisire, cântaţi Dumnezeului nostru întru alăută,*	Ψλ146:7 Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει, ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ,	7. Începeţi a cânta Domnului întru mărturisire, cântaţi Dumnezeului nostru în alăută.
Ψλ146:8 τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν, τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων,	*8. Celui ce îmbracă cerul cu nori, Celui ce găteşte pământului ploaie, Celui ce răsare în munţi iarbă şi verdeaţă spre slujba oamenilor,*	Ψλ146:8 τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν, Ψλ146:9 τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων,	8. Celui ce îmbracă cerul cu nori, Celui ce găteşte pământului ploaie, 9. Celui ce răsare în munţi iarbă şi verdeaţă spre slujba oamenilor,
Ψλ146:9 διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.	*9. Celui ce dă dobitoacelor hrana lor şi puilor de corb ce-L cheamă pe El.*	Ψλ146:10 διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.	10. Celui ce dă dobitoacelor hrana lor, şi puilor de corb ce-L cheamă pe El.
Ψλ146:10 οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ·	*10. Nu întru puterea calului va voi, nici în pulpele bărbatului binevoieşte;*	Ψλ146:11 Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ.	11. Nu întru tăria calului va voi, nici în pulpele bărbatului binevoieşte.
Ψλ146:11 εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.	*11. binevoieşte Domnul întru cei ce se tem de Dânsul şi în cei ce nădăjduiesc spre mila Lui.*	Ψλ146:12 Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.	12. Binevoieşte Domnul întru cei ce se tem de El şi în cei ce nădăjduiesc spre mila Lui.
ΨΑΛΜΟΣ ΡΜΖ΄. Αλληλουια· Αγγαιου καὶ Ζαχαριου.	*PSALMUL 147* *Aliluia; lui Agheu şi Zahariei.*	ΨΑΛΜΟΣ ΡΜΖ΄. Ἀλληλούϊα· Ἀγγαίου καὶ Ζαχαρίου.	*PSALMUL 147* *Aliluia; lui Agheu şi Zahariei.*
Ψλ147:1 Ἐπαίνει, Ιερουσαληµ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιων,	*1. Laudă Ierusalime pe Domnul, laudă pe Dumnezeul tău, Sioane,*	Ψλ147:1 Ἐπαίνει, Ἰερουσαλήμ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιών.	1. Laudă, Ierusalime, pe Domnul, laudă pe Dumnezeul tău, Sioane.
Ψλ147:2 ὅτι ἐνίσχυσεν τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησεν τοὺς υἱούς σου ἐν σοί·	*2. că a întărit încuietorile porţilor tale, binecuvântat-a pe fiii tăi întru tine;*	Ψλ147:2 Ὅτι **ἐνίσχυσε** τοὺς μοχλοὺς τῶν πυλῶν σου, **εὐλόγησε** τοὺς υἱούς σου ἐν σοί.	2. Că a întărit zăvoarele porţilor tale, binecuvântat-a pe fiii tăi întru tine.
Ψλ147:3 ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην καὶ στέαρ πυροῦ ἐμπιπλῶν	*3. Cel ce pune la hotarele Tale pace şi cu grăsimea grâului te-a*	Ψλ147:3 Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην, καὶ στέαρ πυροῦ ἐμπιπλῶν	3. Cel ce pune la hotarele Tale pace, şi cu grăsime de grâu te

σε·	*saturat;*	σε.	satură.
Ψλ147:4 ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ	*4. Cel ce trimite cuvântul Său pământului, degrab aleargă cuvântul Lui,*	**Ψλ147:4** Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.	4. Cel ce trimite cuvântul Său pământului, degrab aleargă cuvântul Lui.
Ψλ147:5 **τοῦ** διδόντος χιόνα ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος,	*5. al Celui ce dă zăpada ca lâna, Cel ce presară negura ca cenuşa,*	**Ψλ147:5** Διδόντος χιόνα **αὐτοῦ** ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος.	5. Cel ce dă zăpada Sa ca lâna, Cel ce presară negura ca cenuşa.
Ψλ147:6 βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς, κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;	*6. Cel ce pune gheaţa Sa ca pâinile, împotriva feţei gerului Lui cine va suferi?*	**Ψλ147:6** Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς, κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;	6. Cel ce pune gheaţa Sa ca pâinile, împotriva feţei gerului Lui cine va suferi?
Ψλ147:7 ἀποστελεῖ τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.	*7. Trimite-va cuvântul Său şi le va topi pe ele; sufla-va Duhul Lui şi vor curge ape.*	**Ψλ147:7** **Ἐξαποστελεῖ** τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.	7. Trimite-va cuvântul Său şi le va topi pe ele; sufla-va Duhul Lui şi vor curge apele.
Ψλ147:8 ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.	*8. Cel ce vesteşte cuvântul Său lui Iacov, îndreptările şi judecăţile Sale lui Israel.*	**Ψλ147:8** **Ὁ** ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.	8. Cel ce vesteşte cuvântul Său lui Iacov, îndreptările şi judecăţile Sale lui Israel.
Ψλ147:9 οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.	*9. Nu au făcut aşa la tot neamul, şi judecăţile Sale nu le-a arătat lor.*	**Ψλ147:9** Οὐκ ἐποίησεν **οὕτω** παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Δόξα...	9. Nu a făcut aşa la tot neamul, şi judecăţile Sale nu le-a arătat lor. Slavă…
ΨΑΛΜΟΣ ΡΜΗ΄. Αλληλουια· Αγγαιου καὶ Ζαχαριου.	*PSALMUL 148* *Aliluia; lui Agheu şi Zahariei.*	ΨΑΛΜΟΣ ΡΜΗ΄. Ἀλληλούϊα· Ἀγγαίου καὶ Ζαχαρίου.	*PSALMUL 148* *Aliluia; lui Agheu şi Zahariei.*
Ψλ148:1 Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.	*1. Lăudaţi pe Domnul din ceruri, lăudaţi pe El întru cele înalte.*	**Ψλ148:1** Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.	1. Lăudaţi pe Domnul din ceruri, lăudaţi pe El întru cele înalte.
Ψλ148:2 αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.	*2. Lăudaţi pe El toţi îngerii Lui; lăudaţi pe El toate puterile Lui.*	**Ψλ148:2** Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.	2. Lăudaţi pe El toţi îngerii Lui; lăudaţi pe El toate puterile Lui.
Ψλ148:3 αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.	*3. Lăudaţi pe El soarele şi luna, lăudaţi pe El toate stelele şi lumina.*	**Ψλ148:3** Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.	3. Lăudaţi pe El soarele şi luna; lăudaţi pe El toate stelele şi lumina.
Ψλ148:4 αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω	*4. Lăudaţi pe El cerurile cerurilor şi apa cea mai presus de ceruri.*	**Ψλ148:4** Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ	4. Lăudaţi pe El cerurile cerurilor şi apa cea mai presus de ceruri.

τῶν οὐρανῶν.		τὸ ὑπεράνω τῶν οὐρανῶν.	
Ψλ148:5 αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.	*5. Să laude numele Domnului, că El a zis şi s-au făcut, El a poruncit şi s-au zidit.*	**Ψλ148:5** Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς **εἶπε**, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.	5. Să laude numele Domnului, că El a zis şi s-au făcut, El a poruncit şi s-au zidit.
Ψλ148:6 ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.	*6. Pusu-le-a pe ele în veac şi în veacul veacului; poruncă a pus şi nu va trece.*	**Ψλ148:6** Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.	6. Pusu-le-a pe ele în veac şi în veacul veacului; poruncă a pus, şi nu va trece.
Ψλ148:7 αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι·	*7. Lăudaţi pe Domnul de pe pământ, balaurii şi toate adâncurile;*	**Ψλ148:7** Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.	7. Lăudaţi pe Domnul de pe pământ, balaurii şi toate adâncurile.
Ψλ148:8 πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ·	*8. focul, grindina, zăpada, gheaţa, duhul cel de vifor, cele ce fac cuvântul Lui;*	**Ψλ148:8** Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ·	8. Focul, grindina, zăpada, gheaţa, duhul cel de vifor, cele ce fac cuvântul Lui;
Ψλ148:9 τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι·	*9. munţii şi toate dealurile, lemnele cele roditoare şi toţi cedrii;*	**Ψλ148:9** τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι·	9. munţii şi toate dealurile, pomii roditori (lemnele roditoare) şi toţi cedrii;
Ψλ148:10 τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά·	*10. fiarele şi toate dobitoacele, cele ce se târăsc şi păsările cele zburătoare;*	**Ψλ148:10** τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά·	10. fiarele şi toate dobitoacele, cele ce se târăsc şi păsările cele zburătoare;
Ψλ148:11 βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς·	*11. împăraţii pământului şi toate popoarele, domnii (începătorii) şi toţi judecătorii pământului;*	**Ψλ148:11** βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς·	11. împăraţii pământului şi toate popoarele, domnii (începătorii) şi toţi judecătorii pământului;
Ψλ148:12 νεανίσκοι καὶ παρθένοι, πρεσβῦται μετὰ νεωτέρων·	*12. tinerii şi fecioarele, bătrânii cu cei mai tineri;*	**Ψλ148:12** νεανίσκοι καὶ παρθένοι, **πρεσβύτεροι** μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.	12. tinerii şi fecioarele, bătrânii cu cei mai tineri; să laude numele Domnului, că s-a înălţat numele Lui al Unuia.
Ψλ148:13 αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου· ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ.	*13. să laude numele Domnului, că s-a înălţat numele Lui, al Unuia; mărturisirea Lui pe pământ şi în cer.*	**Ψλ148:13** Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.	13. Mărturisirea Lui pe pământ şi în cer, şi va înălţa cornul poporului Său.
Ψλ148:14 καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ· ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.	*14. Şi va înălţa cornul poporului Său; Cântare tuturor cuvioşilor Lui, fiilor lui Israel, poporului ce se apropie de Dânsul.*	**Ψλ148:14** Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.	14. Cântare tuturor cuvioşilor Lui, fiilor lui Israel, poporului ce se apropie de El.

ΨΑΛΜΟΣ ΡΜΘ΄. Αλληλουια.	*PSALMUL 149* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΜΘ΄. Ἀλληλούϊα.	*PSALMUL 149* *Aliluia.*
Ψλ149:1 Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.	*1. Cântaţi Domnului cântare nouă, lauda Lui în Biserica cuvioşilor.*	Ψλ149:1 Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.	1. Cântaţi Domnului cântare nouă, lauda Lui în Biserica cuvioşilor.
Ψλ149:2 εὐφρανθήτω Ἰσραήλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιων ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν·	*2. Veselească-se Israel de Cel ce l-a făcut pe el, şi fiii Sionului să se bucure de Împăratul lor;*	Ψλ149:2 Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.	2. Să se veselească Israel de Cel ce l-a făcut pe el; şi fiii Sionului să se bucure de Împăratul lor.
Ψλ149:3 αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ,	*3. Să laude numele Lui în horă, în timpane şi în psaltire să-I cânte Lui,*	Ψλ149:3 Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.	3. Să laude numele Lui în horă; în timpane şi în psaltire să-I cânte Lui.
Ψλ149:4 ὅτι εὐδοκεῖ Κύριος ἐν λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.	*4. că binevoieşte Domnul întru poporul Său şi va înălţa pe cei blânzi întru mântuire.*	Ψλ149:4 Ὅτι εὐδοκεῖ Κύριος ἐν λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.	4. Că binevoieşte Domnul întru poporul Său şi va înălţa pe cei blânzi întru mântuire.
Ψλ149:5 καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν·	*5. Lăuda-se-vor cuvioşii întru slavă şi se vor bucura întru aşternuturile lor;*	Ψλ149:5 Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.	5. Lăuda-se-vor cuvioşii întru slavă şi se vor bucura întru aşternuturile lor.
Ψλ149:6 αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν	*6. înălţările Lui Dumnezeu în gâtlejul lor, şi săbii de amândouă părţile ascuţite în mâinile lor,*	Ψλ149:6 Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν,	6. Înălţările lui Dumnezeu în gâtlejul lor şi săbii de amândouă părţile ascuţite în mâinile lor;
Ψλ149:7 τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,	*7. ca să facă izbândă întru neamuri, mustrări întru popoare,*	Ψλ149:7 τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,	7. ca să facă izbândă întru neamuri, mustrări întru popoare,
Ψλ149:8 τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς,	*8. ca să lege pe împăraţii lor cu obezi şi pe slăviţii lor cu cătuşe de fier,*	Ψλ149:8 τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς,	8. ca să lege pe împăraţii lor în obezi şi pe slăviţii lor cu cătuşe de fier,
Ψλ149:9 τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον· δόξα αὕτη ἐστὶν πᾶσι τοῖς ὁσίοις αὐτοῦ.	*9. ca să facă întru dânşii judecată scrisă; slava aceasta este a tuturor cuvioşilor Lui.*	Ψλ149:9 τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον· δόξα αὕτη **ἔσται** πᾶσι τοῖς ὁσίοις αὐτοῦ.	9. ca să facă întru dânşii judecată scrisă; slava aceasta este a tuturor cuvioşilor Lui.
ΨΑΛΜΟΣ ΡΝ΄. Αλληλουια.	*PSALMUL 150* *Aliluia.*	ΨΑΛΜΟΣ ΡΝ΄. Ἀλληλούϊα.	*PSALMUL 150* *Aliluia.*
Ψλ150:1 Αἰνεῖτε τὸν	*1. Lăudaţi pe Dumnezeu*	Ψλ150:1 Αἰνεῖτε τὸν	1. Lăudaţi pe Dumnezeu

Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ·	*întru Sfinţii Lui, lăudaţi pe El întru tăria puterii Lui;*	Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι **τῆς** δυνάμεως αὐτοῦ.	întru Sfinţii Lui, lăudaţi pe El întru tăria puterii Lui.
Ψλ150:2 αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.	*2. lăudaţi pe El întru puterile Lui, lăudaţi pe El după mulţimea măririi Lui.*	**Ψλ150:2** Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.	2. Lăudaţi pe El întru puterile Lui, lăudaţi pe El după mulţimea măririi Lui.
Ψλ150:3 αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ·	*3. Lăudaţi pe El în glas de trâmbiţă, lăudaţi pe El în psaltire şi în alăută;*	**Ψλ150:3** Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.	3. Lăudaţi pe El în glas de trâmbiţă, lăudaţi pe El în psaltire şi în alăută.
Ψλ150:4 αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ·	*4. Lăudaţi pe El în timpane şi în horă, lăudaţi pe El în strune şi în organe;*	**Ψλ150:4** Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.	4. Lăudaţi pe El în timpane şi în horă, lăudaţi pe El în strune şi în organe.
Ψλ150:5 αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.	*5. lăudaţi pe El în chimvale bine-răsunătoare, lăudaţi pe El în chimvale de strigare.*	**Ψλ150:5** Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Δόξα...	5. Lăudaţi pe El în chimvale bine-răsunătoare, lăudaţi pe El în chimvale de strigare. Toată suflarea să laude pe Domnul. Slavă…
Ψλ150:6 πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. αλληλουια.	*6. Toată suflarea să laude pe Domnul.*		
ΨΑΛΜΟΣ ΡΝΑ΄. Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος εἰς Δαυΐδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ· ὅτε ἐμονομάχησεν τῷ Γολιαδ.	*PSALMUL 151 Acest psalm deosebit este scris de David, şi este înafara numărului; când singur s-a bătut cu Goliat.*		
Ψλ151:1 Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου· ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου.	*1. Mic eram între fraţii mei, şi mai tânăr în casa tatălui meu; păscut-am oile tatălui meu.*		
Ψλ151:2 αἱ χεῖρές μου ἐποίησαν ὄργανον, οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον.	*2. Mâinile mele au făcut organul, şi degetele mele au alcătuit psaltirea.*		
Ψλ151:3 καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; αὐτὸς Κύριος, αὐτὸς εἰσακούει.	*3. Şi cine va vesti Domnului meu? Însuşi Domnul, însuşi va auzi.*		
Ψλ151:4 αὐτὸς ἐξαπέστειλεν τὸν ἄγγελον αὐτοῦ καὶ ἦρέν	*4. Însuşi a trimis pe Îngerul Său şi m-a luat de la oile tatălui meu şi*		

με ἐκ τῶν προβάτων τοῦ πατρός μου καὶ ἔχρισέν με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ.	*m-a uns cu untuldelemn al ungerii Sale.*		
Ψλ151:5 οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς Κύριος.	*5. Fraţii mei buni şi mari, şi n-a binevoit întru dânşii Domnul.*		
Ψλ151:6 ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ·	*6. Ieşit-am întru întâmpinarea celui de alt neam, şi m-a blestemat întru idolii săi;*		
Ψλ151:7 ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν ἀπεκεφάλισα αὐτὸν καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.	*7. Iar eu smulgând sabia de la dânsul, i-am tăiat capul lui şi am ridicat ocara dintru fiii lui Israel.*		